Ἔπειτα *deinde.* Pers. 388. ἔπειτα — ἔπαισαν ἅλμην βρύχιον. Pers. 515. ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα πέλανον. Ag. 165. ὃς δ' ἔπειτ' ἔφυ. Ag. 301. κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος φάος. Ag. 653. ἔπειτα δ' ᾅδην πόντιον πεφευγότες — ἐβουκολοῦμεν. Ag. 1580. κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον ᾤμωξεν. Choeph. 432. ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν. Choeph. 531. πέμπει τ' ἔπειτα τάσδε κηδείους χοάς. Eum. 195. κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου. Suppl. 781. κυσὶν δ' ἔπειθ' ἕλωρα — οὐκ ἀναίνομαι πέλειν. Glauc. 22. κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν. Dan. 35. κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος. Prom. sol. 182, 8. εἰς ἔπειτα σὺ βαλὼν διώσεις ῥᾳδίως Λιγὺν στρατόν. Prom. sol. 184, 1. ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον. — praecedente participio. Sept. 249. κτύπον ἀκούσασ' ἁρμάτων ἔπειτα σὺ ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον. Ag. 478. πυρωθέντα καρδίαν ἔπειτ' ἀλλαγᾷ λόγου καμεῖν. Choeph. 566. ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα ἐρεῖ. Eum. 29. Ποσειδῶνος κράτος καλοῦσα — ἔπειτα μάντις εἰς θρόνους καθιζάνω. Eum. 416. λέξαι δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς τὰς σὰς ἔπειτα τόνδ' ἀμυνάθου ψόγον. Eum. 624. τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδῳ ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός; — οἱ ἔπειτα *posteri.* Eum. 642. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά, καὶ τοὺς ἔπειτα.

Ἐπέκεινα *ultra.* Suppl. 254. Πίνδου τε τἀπέκεινα.

Ἐπεκχωρεῖν *post aliquem procedere.* Pers. 393. δεύτερον δ' ὁ πᾶς στόλος ἐπεξεχώρει.

Ἐπέλπεσθαι *sperare.* Ag. 1002. οὐδὲν ἐπελπομένα ποτὲ καίριον ἐκτολυπεύσειν.

Ἐπεμβαίνειν *ascendere.* Sept. 614. πύργοις ἐπεμβάς.

Ἐπενδιδόναι *insuper infligere.* Ag. 1359. καὶ πεπτωκότι τρίτην ἐπενδίδωμι.

Ἐπενθρώσκειν *insilire.* Pers. 351. σέλμασι ναῶν ἐπενθορόντες.

Ἐπεξέρχεσθαι *enarrare.* Prom. 872. μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.

Ἐπεξιακχάζειν *exclamare.* Sept. 617. ἀλώσιμον παιᾶν' ἐπεξιακχάσαι.

Ἐπέρχεσθαι *accedere, invadere.* Pers. 592. ὅταν κλύδων κακῶν ἐπέλθῃ. Ag. 1229. οἷον τὸ πῦρ. ἐπέρχεται δέ μοι. Suppl. 464. κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται. Suppl. 554. λειμῶνα βούχιλον, ὄντ' ἐπέρχεται Τυφῶ μέ-

νος. Suppl. 663. *μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω.* — τὸ *ἐπερχόμενον imminens, futurum.* Prom. 98. *τὸ παρὸν τό τ' ἐπερχόμενον πῆμα.*

Ἕπεσθαι comitari, sequi. Pers. 41. *ἁβροδιαίτων δ' ἕπεται Λυδῶν ὄχλος.* Pers. 57. *τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται.* Pers. 962. *ὄπιθεν ἑπόμενοι.* Ag. 828. *νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.* Ag. 1023. *ἕπου.* Ag. 1146. *ἑπόμενα προτέροισι τάδ' ἐφημίσω.* Choeph. 891. Eum. 134. *ἕπου.* Eum. 236. *ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς.* Suppl. 194. *φθογγῇ δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ.* Suppl. 518. *πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.* Suppl. 1057. *καὶ δίκα δίκας ἕπεσθαι.*

Ἐπέτειος annuus. Ag. 988. *ἐξ ἀλόκων ἐπετειᾶν.*

Ἐπευθύνειν regere. Pers. 845. *νομίσματα πύργινα πάντ' ἐπεύθυνον.*

Ἐπευφημεῖν bene ominata verba accinere. Pers. 612. *χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε.* — *laetis verbis celebrare.* Fragm. 264, 4. *θεοφιλεῖς ἐμὰς τύχας Παιὰν ἐπευφήμησεν.*

Ἐπεύχεσθαι preces fundere, cupere. Sept. 261. *τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς.* Sept. 463. *ἐπεύχομαι τάδε μὲν εὐτυχεῖν.* Ag. 1265. *ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν.* Ag. 1296. *ἡλίῳ δ' ἐπεύχομαι — ἐχθροὺς φονεῦσι τοὺς ἐμοὺς τίνειν.* Ag. 1441. *μηδὲν θανάτου μοῖραν ἐπεύχου.* Ag. 1453. *ὕμνον ὑμνεῖν ἐπεύχεται.* Choeph. 843. *πόθεν ἄρξωμαι τάδ' ἐπευχομένη.* Eum. 934. *μήποτ' ἐν πόλει στάσιν τᾶδ' ἐπεύχομαι βρέμειν.* — *vovere.* Sept. 258. *ἐπεύχομαι θήσειν τρόπαια.* — *imprecari.* Sept. 434. *ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται.* Ag. 487. *ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει.* Ag. 1582. *μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται.* Choeph. 110. *ἐμοί τε καὶ σοί γ' ἄρ' ἐπεύξομαι τάδε;* — *gloriari.* Ag. 1235. *κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ ἐπεύχεται.* Ag. 1367. *ἐγὼ δ' ἐπεύχομαι.* Eum. 58. *ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνον.*

Ἐπέχειν se continere. Prom. 699. *ἐπίσχες, ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.* Choeph. 883. *ἐπίσχες ὦ παῖ.*

Ἐπήβολος compos, particeps. Prom. 442. *ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.* Ag. 528. *τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου;*

Ἐπήκοος audiens. Ag. 1394. *ἐπήκοος δ' ἐμῶν ἔργων δικαστὴς τραχὺς εἶ.* Choeph. 974. *τῶνδ' ἐπήκοοι κακῶν.* Eum. 702. *δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω.*

Ἔπηλυς advena. Sept. 34. *μηδ' ἐπηλύδων ταρβεῖτ' ἄγαν ὅμιλον.* Pers. 239. *πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;* Suppl. 192. *ὡς ἐπήλυδας πρέπει.* Suppl. 396. *ἐπήλυδας τιμῶν.* Suppl. 606. *μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινά.*

Ἐπήρατος amabilis. Eum. 917. *νεανίδων τ' ἐπηράτων ἀνδροτυχεῖς βιότους δότε.*

Ἐπί. I. cum genitivo: locum significans, in quo quid est. Sept. 369. *ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε.* Sept. 382. *ὑπὲρ ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος* —

πορεῖν. Sept. 460. πόλισμ' ἐπ' ἀσπίδος. Sept. 494. Ζεὺς πατὴρ ἐπ' ἀσπίδος σταδαῖος ἧσται. Sept. 492. πολεμίους ἐπ' ἀσπίδων θεούς. Sept. 502. Ζεὺς ἐπ' ἀσπίδος τυχών. Sept. 541. ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος. Suppl. 643. γράμματα ἐπ' ἀσπίδος φλύοντα. Pers. 18. s. ἔβαν οἱ μὲν ἐφ' ἵππων, οἱ δ' ἐπὶ ναῶν. Pers. 441. ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει ποντίας ἀκτῆς ἔπι. Pers. 927. στυφέλου θείνοντας ἐπ' ἀκτᾶς. Ag. 1403. λίπος ἐπ' ὀμμάτων αἵματος ἐμπρέπειν. Ag. 1410. ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς Αἴγισθος. Ag. 1451. ἐπὶ δὲ σώματος — σταθεῖσα. Suppl. 175. τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν. Suppl. 638. ὃν τίς ἂν δόμος ἔχοι ἐπ' ὀρόφων μιαίνοντα; Glauc. 26. ἐφ' ἅρματος γὰρ ἅρμα. — Choeph. 870. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι. — cum verbis motum significantibus. Prom. 661. ἐπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλεν. Pers. 187. λέπαδν' ἐπ' αὐχένων τίθησι. — II. cum dativo: locum significans, in quo quid est. Prom. 712. ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις. Prom. 731. ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις Κιμμερικὸν ἥξεις. Sept. 32. s. ἐπὶ σέλμασι πύργων στάθητε καὶ πυλῶν ἐπ' ἐξόδοις μίμνοντες εὐθαρσεῖτε. Sept. 405. Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις. Sept. 613. τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις λέξω. Pers. 925. Τυρίας ἐκ ναὸς ἔῤῥοντας ἐπ' ἀκταῖς Σαλαμινιάσι. Ag. 36. βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκεν. Ag. 75. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις. Ag. 1601. κρατούντων τῶν ἐπὶ ζυγῷ δορός. Choeph. 4. τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω. Choeph. 712. ἢ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖται. Eum. 40. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα. Eum. 108. δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον. Eum. 603. κἀπὶ τέρματι φᾶρος παρεσκήνωσεν. Eum. 773. λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις. Glauc. 26. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι. Edon. 59. ἐπὶ δυσμαῖσι τεοῦ πατρός. Fragm. 302. ἔστι κἀμοὶ κλεῖς ἐπὶ γλώσσῃ φύλαξ. — cum verbis motum significantibus. Sept. 58. ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος. Sept. 385. εἰ γάρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι. Sept. 696. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις. Pers. 498. πῖπτον δ' ἐπ' ἀλλήλοισιν. Ag. 348. ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον. Suppl. 85. πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ. Suppl. 981. παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις — τόξευμ' ἔπεμψεν. — contra. Prom. 96. τοιόνδ' ὁ νέος ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμόν. Prom. 923. τοῖον παλαιστὴν νῦν παρασκευάζεται ἐπ' αὐτὸς αὑτῷ. Prom. 1045. ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος. Prom. 1091. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ — στείχει. Sept. 280. τοὶ δ' ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις χερμάδ' ὀκριόεσσαν. Sept. 429. ἀνὴρ δ' ἐπ' αὐτῷ — αἴθων τέτακται λῆμα. Sept. 465. ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει. Sept. 526. ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτε-

ρθαι βέλη. Sept. 602. *ἐπ' αὐτῷ φῶτα — ἀντιτάξομεν.* Pers. 428. *τοιάδ' ἐπ' αὐτοῖς ἦλθε συμφορὰ πάθους.* Pers. 905. *δαίμων γὰρ ὅδ' αὖ μετάτροπος ἐπ' ἐμοί.* Ag. 61. *Ἀτρέως παῖδας ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος Ζεύς.* Ag. 354. *ἐπ' Ἀλεξάνδρῳ τείνοντα πάλαι τόξον.* Ag. 618. s. *γυναικοβούλους τε μήτιδας φρενῶν ἐπ' ἀνδρὶ τευχεσφόρῳ, ἐπ' ἀνδρὶ δῄοισιν ἐπικότῳ σέβας.* Choeph. 985. *ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος.* Eum. 412. *ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;* — de tempore dictum, *post.* Pers. 517. *ἐπ' ἐξειργασμένοις.* Pers. 519. *ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις — ξυμφέρειν βουλεύματα.* Ag. 246. *πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὖ πρᾶξις.* — rem significans, quae ad aliquid accedit. Ag. 1587. *τρίτον γάρ ὄντα μ' ἐπὶ δέκα.* Choeph. 398. *ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ.* — finem, ad quem assequendum aliquid fit. Pers. 289. *ἐπὶ σκηπτουχίᾳ ταχθείς.* Eum. 963. *τὸ δὲ κερδαλέον πέμπειν πόλεως ἐπὶ νίκῃ.* Sept. 861. *μελέους θανάτους εὕροντο δόμων ἐπὶ λύμῃ.* Ag. 995. *τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν Ζεὺς αὐτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ.* Choeph. 855. *εἴη δ' ἐπὶ νίκῃ.* — *causam significans.* Prom. 255. *τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν αἰκίζεται.* Prom. 194. *ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται.* Sept. 762. *ἐπ' ἄλγει δυσφορῶν.* Pers. 987. *πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ.* Choeph. 850. *πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαΐων.* Suppl. 6. *οὔτιν' ἐφ' αἵματι δημηλασίαν — γνωσθεῖσαι.* Suppl. 586. *τίν' ἂν θεῶν ἐνδικωτέροισιν κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις.* Suppl. 1020. *τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς.* — *de.* Sept. 462. *κόμπαζ' ἐπ' ἄλλῳ.* Sept. 905. *πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν.* Ag. 1373. *τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζειν λόγον.* Ag. 1527. *ἐπιτύμβιον αἶνον ἐπ' ἀνδρὶ θείῳ σὺν δακρύοις ἰάπτων.* Choeph. 710. *στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ.* Choeph. 728. *γέλων κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις.* Eum. 316. 325. *ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος.* Eum. 530. *γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμοεργῷ.* Suppl. 620. *λέξωμεν ἐπ' Ἀργείοις εὐχὰς ἀγαθάς.* — rationem et conditionem significans. Sept. 998. *Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς θάπτειν ἔδοξε.* Suppl. 623. *Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου στόματος τιμὰς ἐπ' ἀληθείᾳ.* Choeph. 147. *τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.* Eum. 995. 999. *ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.* — pro dativo commodi positum. Suppl. 956. *εἷς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φερνήν.* — III. cum accusativo: locum significans. Prom. 117. *ἵκετο τερμόνιον ἐπὶ πάγον.* Sept. 89. *ἐπὶ πόλιν διώκων.* Sept. 193. *ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρχαῖα βρέτη.* Sept. 1051. *προπέμπειν ἐπὶ τύμβον.* Pers. 74. *ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει.* Pers. 262. *τὰ πολλὰ βέλεα παμμιγῆ γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν.* Pers. 485. *ἔς τε Μακεδόνων χώραν ἀφικόμεσθ' ἐπ' Ἀξίου πόρον.* Pers. 503. *ἤκου-*

σιν ἐκφυγόντες — ἐφ' ἑστιοῦχον γαῖαν. Pers. 650. ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου. Pers. 744. τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα. Pers. 894. Ἀσία δὲ χθὼν — ἐπὶ γόνυ κέκλιται. Ag. 112. ξύμφρονα ταγὰν πέμπει — θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν. Ag. 283. φῶς ἐπ' Εὐρίπου ῥοὰς — μολόν. Ag. 294. ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον. Ag. 681. κελσάντων Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους. Ag. 756. πᾶν δ' ἐπὶ τέρμα νωμᾷ. Ag. 766. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται. Ag. 990. τὸ δ' ἐπὶ γᾶν ἅπαξ πεσὸν — μέλαν αἷμα. Ag. 1092. ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγών. Choeph. 554. ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας. Choeph. 753. στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον οἴκων. Eum. 10. κέλσας δ' ἐπ' ἀκτὰς ναυπόρους. Eum. 794. μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπόν. Suppl. 307. Κάνωβον κἀπὶ Μέμφιν ἵκετο. Suppl. 477. βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων θές. Suppl. 816. σοῦσθ' ἐπὶ βᾶριν. Suppl. 822. σοῦσθ' — ἐπ' ἀμίδα. Suppl. 827. ἐπ' ἀμίδα. Fragm. 337. ὅτε νῦν ἦλθ' ἐπὶ στόμα. — *contra*. Prom. 866. τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις. Sept. 264. ἐγὼ δ' ἐπ' ἄνδρας ἓξ ἐμοὶ σὺν ἑβδόμῳ — τάξω. Sept. 898. δόμων μάλ' ἀχὰν ἐπ' αὐτοὺς προπέμπει δαϊκτὴρ γόος. Pers. 403. ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ. Eum. 837. ἐπὶ τὸν δεδμεναι. — finem et consilium indicans. Sept. 843. ἤκουσ' αἶδ' ἐπὶ πρᾶγος. Ag. 1517. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης πρὸς ἄλλαις θηγάναισι Μοῖρα. Choeph. 471. πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκην. Myrmid. 119. οὐ πελάθεις ἐπ' ἀραγάν. — IV. a verbo disiunctum et adverbialiter positum. Pers. 656. Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται. Choeph. 389. καὶ πότ' ἂν ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι; Eum. 356. τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται. — V. ἔπι pro ἔπεστι Eum. 371. ἔπι δέ μοι γέρας παλαιόν.

Ἐπιβαίνειν *conscendere*. Suppl. 39. πρίν ποτε λέκτρων — ἐπιβῆναι.

Ἐπιβάλλειν *iniicere*. Choeph. 389. καὶ πότ' ἂν ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι;

Ἐπιβοᾶν *acclamare*. Pers. 1011. καὶ στέρν' ἄρασσε κἀπιβόα τὸ Μύσιον. Suppl. 675. εὔφημον δ' ἐπιβοῷεν Μοῦσα.

Ἐπιβουλεύειν *insidiari*. Sept. 29. λέγει μεγίστην προσβολὴν Ἀχαΐδα νυκτηγορεῖσθαι κἀπιβουλεύειν πόλει.

Ἐπίβουλος *insidiator*. Suppl. 582. τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους;

Ἐπιβριθής *gravis*. Eum. 923. παντὶ χρόνῳ δ' ἐπιβριθεῖς ἐνδίκοις ὁμιλίαις.

Ἐπιβώμιος *qui in ara est*. Bassar. 20. κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ.

Ἐπιγηθεῖν *laetari*. Prom. 156. ὡς μήτε θεὸς μήτε τις ἄλλος τοῖσδ' ἐπεγήθει.

Ἐπιγινώσκειν *intelligere*. Ag. 1580. ἐπιγνοὺς ἔργον οὐ καταίσιον.

Ἐπιγλωσσᾶσθαι *male ominata dicere*. Choeph. 1041. μήτ' ἐπιγλωσσῷ κακά. Heraclid. 63. ἐπιγλωσσῶ. — *conviciari*. Prom. 930.

σὲ θὴν ἃ χρήζεις ταῦτ' ἐπιγλωσσᾷ Διός.

'Επίγονοι *posteri.* Sept. 885. μενεῖ κτέανα τ' ἐπιγόνοις.

'Επιδεικνύναι *ostendere.* Suppl. 52. τά τε νῦν ἐπιδείξω πιστὰ τεκμήρια.

'Επιδεσπόζειν *imperium tenere.* Pers. 237. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ;

'Επιδιπλοΐζειν *iterare.* Eum. 968. χαίρετε, χαίρετε δ' αὖθις, ἐπιδιπλοΐζω.

'Επίδρομος *instans, contingens.* Suppl. 117. θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς, ἐπίδρομ', ὁπόθι θάνατος ἀπῇ.

'Επιέναι *accedere, invadere.* Prom. 1018. οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος. Pers. 370. νὺξ ἐπῄει. Oedip. 161. ἐπῄμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου τρίοδον.

'Επιζευγνύναι *equos currui alligare.* Eum. 383. πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον. Choeph. 1040. μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς.

'Επίζηλος *qui beatus praedicatur.* Ag. 913. ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

'Επιθοάζειν *supplicem orare.* Choeph. 843. τάδ' ἐπευχομένη κἀπιθοάζουσα.

'Επιθύειν *immolare post alterum sacrificium.* Ag. 1485. τόνδ' ἀπέτισεν τέλεον νεαροῖς ἐπιθύσας.

'Επιθυμεῖν *cupidum esse.* Ag. 209. παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις.

'Επιθωΰσσειν *acclamare.* Prom. 73. ἦ μὴν κελεύσω κἀπιθωΰξω γε πρός. Prom. 277. οὐκ ἀκούσαις ἐπεθώϋξας τοῦτο.

'Επικαινοῦν *novare.* Eum. 663. αὐτῶν πολιτῶν μὴ 'πικαινούντων νόμους.

'Επικεκλῆσθαι *invocare.* Suppl. 40. ἐπικεκλόμεναι Δῖον πόρτιν.

'Επικεύθειν *celare.* Ag. 774. οὐ γάρ σ' ἐπικεύσω.

'Επικηρύσσεσθαι *se regem pronuntiare.* Sept. 616. πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς πόλει.

'Επίκλοπος *furax.* Eum. 144. ἰὼ παῖ Διὸς, ἐπίκλοπος πέλῃ.

'Επικλώθειν *destinare.* Eum. 321. τοῦτο γὰρ λάχος διανταία Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν.

'Επίκοτος *stomachosus.* Prom. 604. ἐπικότοισι μήδεσι δαμεῖσα. Sept. 768. τέκνοις δ' ἀραίας ἐφῆκεν ἐπικότους τροφάς. Choeph. 619. ἐπ' ἀνδρὶ δῄοισιν ἐπικότῳ σέβας.

'Επικότως *stomachose.* Prom. 162. ὁ δ' ἐπικότως αἰεὶ τιθέμενος ἄγναμπτον νόον.

'Επικουρία *auxilium.* Pers. 717. ὦ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ. — *copiae.* Suppl. 702. καὶ τἄλλα πλοῖα πᾶσα θ' ἡ 'πικουρία εὔπρεπτος.

'Επίκουρος *socius.* Pers. 870. σθένος ἀνδρῶν τευχηστήρων παμμίκτων τ' ἐπικούρων.

'Επικραίνειν *perficere, ad exitum perducere.* Sept. 869. κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐρινὺς ἐπέκρανεν. Ag. 724. παρακλίνουσ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτάς. Ag. 1313. ἄλλων ποινὰς θανάτων — ἐπικρανεῖ. Ag. 1526. ἄχαριν χάριν ἀντ' ἔργων μεγάλων ἀδίκως ἐπικρᾶναι. Eum. 341. θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν. Eum. 910. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον, οἷ' ἐπικραίνει.

Suppl. 13. κύδιστ' ἀχέων ἐπέκρανεν. Suppl. 870. μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις. Suppl. 619. Ζεὺς δ' ἐπέκρανεν τέλος. Suppl. 671. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ. — Eum. 927. τάδε τοι χώρᾳ τῇ 'μῇ προφρόνως ἐπικραινομένων γάνυμαι. Suppl. 46. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰών.

Ἐπικρούειν pulsare. Ag. 196. χθόνα βάκτροις ἐπικρούσαντας Ἀτρείδας.

Ἐπικρύπτειν occultare. Eum. 307. χεῖρας φονίας ἐπικρύπτει.

Ἐπικτᾶσθαι acquirere. Eum. 641. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον. Eum. 861. τοιγὰρ κατὰ χθόν' οὐδ' ἐπικτήσῃ φίλους;

Ἐπικύρειν participem esse. Pers. 839. μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν.

Ἐπιλαβὴ contrectatio. Suppl. 427. πέπλων τ' ἐπιλαβὰς ἐμῶν.

Ἐπιλέγειν dicere in aliquem. Suppl. 950. πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις εὔτυκος. — ἐπιλέγεσθαι. ἐπιλέγεσθαι commemorare. Suppl. 48. ὅντ' ἐπιλεξαμένα — ἐπιδείξω πιστὰ τεκμήρια. — Ag. 1477. μηδ' ἐπιλεχθῇς.

Ἐπίλυσις liberatio. Sept. 124. ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου.

Ἐπιμαίνεσθαι furere. Sept. 140. δορυτίνακτος αἰθὴρ ἐπιμαίνεται. Ag. 1402. φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται.

Ἐπιμαστίδιος lactens. Sept. 331. βληχαὶ δ' αἱματόεσσαι τῶν ἐπιμαστιδίων ἀρτιτρεφεῖς βρέμονται.

Ἐπιμέλπειν accinere. Sept. 851. Ἀΐδᾳ τ' ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.

Ἐπιμνᾶσθαι commemorare. Choeph. 614. ἐπεὶ δ' ἐπεμνησάμην ἀμειλίχων πόνων.

Ἐπίμολος advena, qui invasit. Sept. 610. δορίπονα κάκ' ἐκτρέποντες ἐς γᾶς ἐπιμόλους.

Ἐπίμομφος vituperio dignus. Ag. 539. τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν, τὰ δ' αὖτε κἀπίμομφα. Choeph. 817. περαίνων ἐπίμομφον ἄταν.

Ἐπινέμεσθαι grassari. Ag. 472. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται ταχύπορος.

Ἐπινίκιον carmen quo victoria celebratur. Ag. 167. ἐπινίκια κλάζων.

Ἐπινωμᾶν tribuere. Sept. 709. ξένος δὲ κλήρους ἐπινωμᾷ χάλυβος Σκυθῶν ἄποικος. Eum. 301. λάχη τὰ κατ' ἀνθρώπους ὡς ἐπινωμᾷ στάσις ἅμα.

Ἐπιξενοῦν hospitio excipere. Ag. 1293. ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη. Cress. 102.

Ἐπίξηνον mensa culinaria. Ag. 1250. βωμοῦ πατρῴου δ' ἄντ' ἐπίξηνον μένει.

Ἐπιπάλλειν vibrare. Choeph. 160. βέλη 'πιπάλλων Ἄρης.

Ἐπίπαν omnino. Pers. 42. οἵτ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος. Suppl. 802. σὸν δ' ἐπίπαν ζυγὸν ταλάντου.

Ἐπιπείθεσθαι convinci. Ag. 1066. μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι.

Ἐπιπλήσσειν exprobrare. Prom. 80. τὴν δ' ἐμὴν αὐθαδίαν ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.

Ἐπιπνεῖν spirare. Sept. 325. μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας — Ἄρης.

Ἐπίπνοια afflatus. Suppl. 17. γένος ἡμέτερον τῆς οἰστροδόνου βοὸς ἐξ

ἐπαφῆς κἀξ ἐπιπνοίας Διὸς εἰργόμενον τετέλεσται. Suppl. 44. ἰνίν τ' ἀνθονομούσας προγόνου βοὸς ἐξ ἐπιπνοίας Ζηνὸς ἔφαψιν. Suppl. 572. ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις παύεται. Suppl. 1027. l. c.

Ἐπιποτᾶσθαι super aliquid effundi. Pers. 656. *Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται.* Eum. 356. *τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται.*

Ἐπιῤῥεῖν advenire, instare. Eum. 815. *οὑπιῤῥέων γὰρ τιμιώτερος χρόνος ἔσται.*

Ἐπιῤῥέπειν facere ut aliquid contingat. Ag. 242. *Δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιῤῥέπει τὸ μέλλον.* Eum. 848. *οὐ τὰν δικαίως τῇδ' ἐπιῤῥέποις πόλει μῆνίν τινα.* — *accedere, contingere.* Ag. 690. *ὑμέναιον, ὃς τότ' ἐπέῤῥεπεν γαμβροῖσιν ἀείδειν.* Ag. 1012. *εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιῤῥέποι τύχης.*

Ἐπιῤῥηγνύναι lacerare. Pers. 987. *πέπλον δ' ἐπέῤῥηξ' ἐπὶ συμφορᾷ κακοῦ.*

Ἐπιῤῥίπτειν obiicere, imponere. Prom. 740. *τῇδε γὰρ θνητῇ θεὸς χρῄζων μιγῆναι τάσδ' ἐπέῤῥιψε πλάνας.*

Ἐπιῤῥοή alluvio, fluentum. Ag. 1491. *βιάζεται δ' ὁμοσπόροις ἐπιῤῥοαῖσιν αἱμάτων μέλας Ἄρης.* Eum. 664. *κακαῖς ἐπιῤῥοαῖσι βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων.* Myrmid. 122. *ἰὼ Καΐκε Μύσιαί τ' ἐπιῤῥοαί.*

Ἐπιῤῥοθεῖν resonare. Choeph. 421. *κτύπῳ δ' ἐπιῤῥοθεῖ κροτητὸν ἀμὸν ἄθλιον κάρα.* Choeph. 451. *στάσις δὲ πάγκοινος ἅδ' ἐπιῤῥοθεῖ.*

Ἐπίῤῥοθος auxilium ferens. Sept. 350. *ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν παγκλαύτων ἀλγέων ἐπίῤῥοθον.*

Ἐπιῤῥοιζεῖν rauca voce aliquid alicui imperare. Eum. 402. *ἦ καὶ τοιαύτας τῷδ' ἐπιῤῥοιζεῖς φυγάς;*

Ἐπίῤῥυτος affluens. Eum. 867. *καρπόν τε γαίας καὶ βοτῶν ἐπίῤῥυτον.*

Ἐπιῤῥύεσθαι servare, tueri. Sept. 149. *ἑπτάπυλον ἕδος ἐπιῤῥύου.*

Ἐπισεύεσθαι invadere, urgere. Eum. 755. 782. *πέδον ἐπισσύμενος.*

Ἐπίσημον signum. Sept. 641. *τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπῃ τελεῖ.*

Ἐπισκήπτειν infligere, facere ut aliquid incidat. Pers. 726. *ἐς δὲ παῖδ' ἐμὸν Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων.* Pers. 104. *ἐπέσκηψε δὲ Πέρσαις πολέμους πυργοδαΐκτους διέπειν.* — *iniungere.* Prom. 667. *βάξις ἦλθεν Ἰνάχῳ σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη.* — *incidere.* Eum. 460. *ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε.*

Ἐπισκοπεῖν intueri, observare. Choeph. 59. *ῥοπὴ δ' ἐπισκοπεῖ δίκας.* Suppl. 376. *τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει.* Suppl. 397. *ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ Ζεύς.* — *visere.* Eum. 286. *εἴτε Φλεγραίαν πλάκα θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ.* — Ag. 13. *εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην.*

Ἐπίσκοπος tutor. Sept. 254. *θεοῖς πεδιονόμοις τε κἀγοραίας ἐπισκόποις.* Choeph. 124. *πατρῴων δωμάτων ἐπισκόπους.* Eum. 710. *ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.*

Ἐπίσκοπος scopum attingens. Eum. 493. *τὸ δεινὸν αὖ καὶ φρενῶν ἐπί-*

σκοπον δυσμενῆ καθήμενον. Eum. 863. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα.

'*Επισπᾶν* *adducere*. Pers. 469. τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.

'*Επισπένδειν* *libare super aliqua re*. Ag. 1368. ἐπισπένδειν νεκρῷ. Choeph. 147. τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς. Niob. 147. οὔτ' ἄν τι θύων οὔτ' ἐπισπένδων ἄνοις.

'*Επισπέρχειν* *urgere*. Sept. 671. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός.

'*Επίσπορος* *posteri*. Eum. 643. καὶ τάδ' αἰανῶς μένει στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.

'*Επίσσυτος* *celeriter et vehementer irrumpens*. Ag. 861. κλαυμάτων ἐπίσσυτοι πηγαί. Ag. 1121. πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις ματαίους δύας. Eum. 883. ἐπισσύτους βίου τύχας ὀνησίμους.

'*Επισταθμᾶσθαι* *perpendere*. Ag. 159. πάντ' ἐπισταθμώμενος.

'*Επίστασθαι* *scire*. Prom. 265. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην. Prom. 374. σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι. Prom. 842. 969. σαφῶς ἐπίστασο. Prom. 981. τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται. Prom. 984. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι. Prom. 1034. ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα τὸ Δῖον. Pers. 366. οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο. Pers. 517. ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις. Pers. 591. ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων κακῶν ἐπέλθῃ πάντα δειμαίνειν φιλεῖ. Ag. 936. πίνεσθαι δ' οὐκ ἐπίσταται δόμος. Ag. 1036. χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν. Ag. 1227. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν. Eum. 86. ἐπεὶ δ' ἐπίστᾳ. Eum. 266. ἐπίσταμαι πολλοὺς καθαρμοὺς καὶ λέγειν ὅπου δίκη σιγᾶν θ' ὁμοίως. Eum. 551. σὺ δ' εἶργε ὅπως ἐπίστᾳ. Eum. 637. ὡς ἐπίσταμαι. Suppl. 896. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι. Fragm. 299. γένος μὲν αἰνεῖν καὶ μαθὼν ἐπίσταμαι.

'*Επιστατεῖν* *praeesse*. Ag. 1221. ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.

'*Επιστάτης* *praefectus*. Sept. 797. οἱ δ' ἐπιστάται, δισσοὶ στρατηγοί. Pers. 371. πᾶς ἀνὴρ κώπης ἄναξ ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης.

'*Επιστείχειν* *accedere*. Eum. 866. κἀνέμων ἀήματα εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα.

'*Επιστέλλειν* *mandare, iubere*. Eum. 196. καὶ προστρεπέσθαι τοιόσδ' ἐπέστελλον δόμους. — Sept. 1003. οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν. Ag. 882. αἷς ἐπέσταλται τέλος. Choeph. 768. πρᾶσσε τἀπεσταλμένα. Eum. 713. ὅστις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.

'*Επιστενάζειν* *ingemiscere*. Pers. 713. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;

'*Επιστενάχειν* *ingemiscere*. Ag. 764. τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος.

'*Επιστολή* *mandatum, iussum*. Prom. 3. σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς, ἅς σοι πατὴρ ἐφεῖτο. Pers. 769. ποῦ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς. Suppl. 990. μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός. Fragm. in Bekk. Anecd. p. 372, 8. ἄκουε τὰς ἐμὰς ἐπιστολάς.

'*Επιστρατεύειν* *expeditionem bellicam suscipere*. Pers. 766. καίτο-

στράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.

Ἐπίστρεπτος *beatus, pulcher, in quem hominum oculi convertuntur.* Choeph. 345. τέκνων τε κελεύθοις ἐπίστρεπτον αἰῶνα κτίσσας. Suppl. 975. ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.

Ἐπιστρέφεσθαι *se convertere.* Suppl. 503. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.

Ἐπιστροφή *commoratio, locus in quem deverti potest.* Sept. 630. πόλιν ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφάς. Eum. 518. ξενοτίμους ἐπιστροφὰς δωμάτων. Philoct. 234. Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί. Phryg. 249.

Ἐπίστροφος *versans in aliqua re.* Ag. 386. τὸν δ' ἐπίστροφον τῶνδε φῶτ' ἄδικον καθαιρεῖ.

Ἐπιστρωφᾶσθαι *versari aliquo loco, frequentare.* Ag. 946. ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.

Ἐπισχεθεῖν *occupare, cohibere.* Sept. 435. κεραυνοῦ δέ μιν βέλος ἐπισχέθοι.

Ἐπιτέλλειν *apparere.* Prom. 100. πῆ ποτὲ μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι;

Ἐπιτίθεσθαι *sibi proponere, parare.* Ag. 1383. τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς.

Ἐπιτιμητής *taxator, castigator.* Prom. 77. οὑπιτιμητής γε τῶν ἔργων βαρύς.

Ἐπιτίμιον *poena.* Sept. 1012. τοὐπιτίμιον λαβεῖν. Pers. 809. τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια.

Ἐπιτυμβίδιος *sepulcralis.* Choeph. 338. ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων.

Ἐπιτύμβιος *sepulcralis.* Ag. 1527. ἐπιτύμβιος αἶνος. Choeph. 331. ἐπιτύμβιος θρῆνος.

Ἐπιτυχής *finem assequens.* Suppl. 725. ἔπλευσαν οὐδ' ἐπιτυχεῖ κότῳ.

Ἐπιφέρειν *inferre.* Eum. 736. μήτοι τιν' ἄνδρα δεῦρο — ἐλθόντ' ἐπαίσειν εὖ κεκασμένον δόρυ.

Ἐπιφθέγγεσθαι *vocem addere.* Choeph. 450. ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα.

Ἐπίφθονος *invidus.* Ag. 133. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνά. Eum. 354. ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδός. Suppl. 198. τὸ τῇδε κάρτ' ἐπίφθονον γένος. — *invisus.* Ag. 895. μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον τίθει.

Ἐπιφλέγειν *incendere.* Pers. 387. σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.

Ἐπίφοβος *terribilis.* Ag. 1123. τὰ δ' ἐπίφοβα δυσφάτῳ κλαγγᾷ μελοτυπεῖς.

Ἐπίφορος *proclivis.* Choeph. 800. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος.

Ἐπιχαλᾶν *cedere.* Prom. 179. πικραῖς δύαισιν οὐδὲν ἐπιχαλᾷς.

Ἐπιχαλκεύειν *cudere.* Fragm. 421. σφύρας δέχεσθαι κἀπιχαλκεύειν λέγω.

Ἐπιχαρής *gratus, laetus.* Prom. 160. τίς ὧδε τλησικάρδιος θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ;

Ἐπίχαρις *gratificans, gratiosus.* Sept. 893. οὐδ' ἐπίχαρις Ἄρης.

Ἐπίχαρτος *laetificus.* Prom. 158. ἐχθροῖς ἐπίχαρτα πέπονθα. Ag. 704. εὐφιλόπαιδα καὶ γεραροῖς ἐπίχαρτον.

Ἐπίχειρον *merces.* Prom. 319. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης — τἀπίχειρα γίνεται.

Ἐπιχώριος *in terra aliqua habitans.*

Suppl. 781. ἐπιχωρίοις ἔρνεσι δεῖπνον οὐκ ἀναίνομαι πέλειν. Suppl. 647. μηδ' ἐπιχωρίους Ἄρης πτώμασιν αἱματίσαι πέδον γᾶς.

Ἐπίψογος vituperio dignus. Ag. 596. *ἐπίψογον φάτιν.*

Ἔποικος habitatus. Prom. 409. *ἔποικον ἁγνᾶς Ἀσίας ἕδος.*

Ἐποικτείρειν misereri. Ag. 1039. *ἐγὼ δ', ἐποικτείρω γὰρ, οὐ θυμώσομαι.* Choeph. 128. *ἐποικτείρόν τ' ἐμὲ φίλον τ' Ὀρέστην.*

Ἐποίκτιστος miserabilis. Ag. 1194. *ἐποίκτιστον γέμος.*

Ἔποικτος miserabilis. Ag. 1597. *ἔποικτον τόνδε βουλεῦσαι φόνον.*

Ἐποιμώζειν ingemiscere. Choeph. 540. *ἡ δ' ἀμφιταρβεῖ τῷδ' ἐπῴμωξεν πάθει.*

Ἐποίχεσθαι invadere. Choeph. 951. *δολία βλαπτομέναν χρονισθεῖσαν ἐποίχεται.*

Ἐπολολύζειν, ἐπολολύζεσθαι laetum clamorem extollere. Sept. 807. *πότερον χαίρω κἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι;* Choeph. 930. *ἐπολολύξατ' ὦ δεσποσύνων δόμων ἀναφυγαῖς κακῶν.* Ag. 1209. *ὡς δ' ἐπωλολύξατο ἡ παντότολμος.*

Ἐπομβρία exundantia. Fragm. 299. *γαῖαν κυλίνδων ῥευμάτων ἐπομβρίαις.*

Ἐποπτεύειν intueri, tueri, curare. Ag. 1243. *ἐποπτεύσας δέ με κἀν τοῖσδε κόσμοις καταγελωμένην.* Ag. 1561. *φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη.* Choeph. 1. *Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη.* Choeph. 482. *ὦ γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.* Choeph. 576. *τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω.* Choeph. 979. *ὁ πάντ' ἐποπτεύων τάδε Ἥλιος.* Choeph. 1050. *καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι.* Eum. 211. *μηδ' ἐποπτεύειν κότῳ.* Eum. 215. *δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.*

Ἐποπτὴρ qui respicit, curat aliquid. Sept. 622. *θεοὺς γενεθλίους καλεῖ — ἐποπτῆρας λιτῶν ὧν γενέσθαι.*

Ἐπόπτης spectator. Prom. 299. *πόνων ἐμῶν ἥκεις ἐπόπτης;* Fragm. 300. *ἐπόπτην ἔποπα τῶν αὐτοῦ κακῶν.*

Ἐπορθιάζειν clamorem edere. Pers. 1007. *ἐπορθίαζε νῦν γόοις.* Ag. 29. *ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι ἐπορθιάζειν.* Ag. 1091. *ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ ἐπορθιάζειν;*

Ἐπόρνυσθαι accurrere. Suppl. 184. *τόνδ' ἐπόρνυται στόλον (ὄχλος).*

Ἔπος verbum, dictum. Prom. 934. *τοιάδ' ἐκρίπτων ἔπη.* Prom. 982. *τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.* Prom. 1035. *πᾶν ἔπος τελεῖ.* Prom. 1057. *τοιάδε μέντοι τῶν φρενοπλήκτων βουλεύματ' ἔπη τ' ἔστιν ἀκοῦσαι.* Prom. 1067. *οὐ γὰρ δή που τοῦτό γε τλητὸν παρέσυρας ἔπος.* Sept. 246. *τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.* Sept. 425. *πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.* Sept. 561. *λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα.* Sept. 699. *οὐκ ἄνδρ' ὁπλίτην τοῦτο δεῖ στέργειν ἔπος.* Pers. 121. *τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων.* Pers. 170. *μή σε δὶς φράσαι μήτ' ἔπος μήτ' ἔργον.* Pers. 700. *ὡς εἰπεῖν ἔπος.* Ag. 259. *πέφευγε τοὔπος ἐξ ἀπιστίας.* Ag. 1134. *τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;* Ag. 1611. *καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.* Ag. 1648. *κἀκβαλεῖν ἔπη τοιαῦτα.*

Choeph. 46. φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν. Choeph. 91. ἢ τοῦτο φάσκω τοὔπος. Choeph. 408. σπλάγχνα δέ μοι κελαινοῦται πρὸς ἔπος κλυούσῃ. Choeph. 776. διὰ δίκας πᾶν ἔπος ἔλακον. Choeph. 803. ἄσκοπον δ' ἔπος λέγων. Choeph. 874. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων. Eum. 422. ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα. Eum. 486. τοῦτ' ἔπος θροούμενος. Eum. 505. ξύμμετρον δ' ἔπος λέγω. Eum. 556. ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς. Suppl. 176. τἄμ' ἔπη δελτουμένας. Suppl. 191. αἰδοῖα καὶ γοεδνὰ καὶ τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθε. Suppl. 459. αἰνιγματῶδες τοὔπος. Suppl. 507. εὔφημον εἴη τοὔπος εὐφημουμένῃ. Suppl. 593. πάρεστι δ' ἔργον ὡς ἔπος. Suppl. 904. ἤκουσα τοὔπος οὐδαμῶς φιλόξενον. Suppl. 1045. μέτριον νῦν ἔπος εὔχου. Arm. iud. 163. ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

Ἐποτρύνεσθαι *festinare ad aliquid.* Sept. 680. ἀλλὰ σὺ μὴ 'ποτρύνου.

Ἐπουρίζειν *afflare.* Eum. 132. αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ.

Ἔποχος *qui vehitur.* Pers. 45. ἐπόχους πολλοῖς ἅρμασιν. Pers. 54. ναῶν τ' ἐπόχους.

Ἔποψ *upupa.* Fragm. 300. τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν πεποίκιλκε.

Ἑπτά *septem.* Sept. 42. ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται. Sept. 117. ἑπτὰ δ' ἀγήνορες. Pers. 335. ἑκατὸν δὶς ἦσαν ἑπτά τε. Fragm. 293. αἱ δ' ἑπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι.

Ἑπτάπυλος *septem portis instructus.* Sept. 149. ἑπτάπυλον ἕδος ἐπιῤῥύου.

Ἑπτάρους *septemfluus.* Fragm. 299, 2. Νεῖλος ἑπτάρους.

Ἑπτατειχής *ad septem muros pertinens.* Sept. 260. ὡς ἑπτατειχεῖς ἐξόδους.

Ἐπῳδή *carmen, incantamentum.* Eum. 619. τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ οὑμός.

Ἐπῳδός *carminis instar aliquid averruncans.* Ag. 1392. ἔθυσεν αὑτοῦ παῖδα — ἐπῳδὸν Θρῃκίων ἀημάτων.

Ἐπῴζειν *ovis insidere (lamentari?).* Niob. 149. ἐφημένη τάφον τέκνοις ἐπῷζε τοῖς τεθνηκόσιν.

Ἐπωνυμία *cognomen.* Sept. 811. ὀρθῶς κατ' ἐπωνυμίαν καὶ πολυνεικεῖς ὤλοντο. Suppl. 45. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰὼν εὐλόγως.

Ἐπώνυμος *qui ex aliqua re nomen traxit.* Prom. 300. λιπὼν ἐπώνυμόν τε ῥεῦμα. Prom. 735. Βόσπορος δ' ἐπώνυμος κεκλήσεται. Prom. 852. ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων τέξεις κελαινὸν Ἔπαφον. Sept. 9. ὧν Ζεὺς ἀλεξητήριος ἐπώνυμος γένοιτο Καδμείων πόλει. Sept. 125. σύ τ' Ἄρης, φεῦ, φεῦ, Κάδμου ἐπώνυμον πόλιν φύλαξον. Sept. 387. τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον. Sept. 518. οὔτι παρθένων ἐπώνυμον φρόνημα. Sept. 640. ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκη λέγω. Choeph. 188. ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον φρόνημα παισὶ δύσθεον πεπαμένη. Eum. 90. κάρτα δ' ὢν ἐπώνυμος πομπαῖος ἴσθι. Eum. 396. γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους. Eum. 659. Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος πέτρα πάγος τ' Ἄρειος. Suppl. 249.

ἐμοῦ δ᾽ ἄνακτος εὐλόγως ἐπώνυμον γένος Πελασγῶν. Suppl. 310. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος.

Ἐποπτᾶν *inspicere.* Choeph. 682. ὡς πόλλ᾽ ἐποπτᾷς πάντοθεν εὖ πείρονα. Eum. 265. δελτογράφῳ δὲ πάντ᾽ ἐπωπᾷ φρενί. — *tueri.* Eum. 929. ὅτι μου γλῶσσαν καὶ στόμ᾽ ἐποπτᾷ.

Ἐπωπή *locus unde aliquid inspicitur.* Suppl. 534. ματέρος ἀνθονόμους ἐπωπάς l. d.

Ἔραζε *in terram.* Niob. 144. θυμὸς δὲ — οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει.

Ἐρᾶν *concupiscere.* Sept. 374. μάχης ἐρῶν. Dan. 36. ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα. Niob. 147. μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ. Pers. 812. ἄλλων ἐρασθείς. Eum. 814. γῆς τῆσδ᾽ ἐρασθήσεσθε.

Ἐράσινος fluvius. Suppl. 999. χεῦμ᾽ Ἐρασίνου.

Ἐράσμιος *desideratus.* Ag. 591. ἥκειν ὅπως τάχιστ᾽ ἐράσμιον πόλει.

Ἐραστεύειν *amare, cupidum esse.* Prom. 895. τῶν γένει μεγαλυνομένων ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

Ἐρατός *amabilis.* Sept. 846. ἐρατῶν ἐκ βαθυκόλπων στηθέων.

Ἐργάζεσθαι *facere.* Sept. 827. τόδ᾽ εἰργάσασθ᾽ ἄπιστον. Fragm. 321. ἦ πολλά γ᾽ ἐν δόμοισιν εἴργασται κακά. — passive. Ag. 345. χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων. Ag. 1319. τοὔργον εἰργάσθαι δοκεῖ μοι. Prom. 242. ἐκ πέτρας εἰργασμένος. Fragm. 271. οὐδ᾽ ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα.

Ἐργαστέος *faciendus.* Choeph. 296. τοὔργον ἐστ᾽ ἐργαστέον.

Ἐργάτις *effectrix.* Prom. 459. μνήμην θ᾽ ἁπάντων μουσομήτορ᾽ ἐργάτιν.

Ἔργμα *factum.* Sept. 568. ἐργμάτων ἄτερ. Eum. 477. τῶνδ᾽ ἐφέρψει νόσος τις ἐργμάτων.

Ἔργον *opus, labor.* Prom. 57. περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε. Prom. 75. καὶ δὴ πέπρακται τοὔργον. Prom. 77. ἐπιτιμητής γε τῶν ἔργων βαρύς. Sept. 396. ἔργον δ᾽ ἐν κύβοις Ἄρης κρινεῖ. Sept. 474. ὅστις τόδ᾽ ἔργον ὤκνησεν πρὸς ἀσπίδα. Sept. 562. ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές. Sept. 646. Δίκη παρῆν ἔργοις ἐκείνου καὶ φρεσίν. Sept. 1041. ἀλλ᾽ εἰς ἅπαντας ἀνθ᾽ ἑνὸς τόδ᾽ ἔργον ἦν. Pers. 170. μή σε δὶς φράσαι μήτ᾽ ἔπος μήτ᾽ ἔργον. Pers. 745. τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον μέγιστον. Pers. 752. ἐκείνου παῖς τόδ᾽ ἔργον ἤνυσε. Ag. 736. τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει. Ag. 1180. ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμῳ; Ag. 1319. τοὔργον εἰργάσθαι δοκεῖ μοι. Ag. 1379. τῆσδε δεξιᾶς χερὸς ἔργον δικαίας τέκτονος. Ag. 1395. ἐπήκοος δ᾽ ἐμῶν ἔργων δικαστὴς τραχὺς εἶ. Ag. 1476. αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν. Ag. 1525. ἀντ᾽ ἔργων μεγάλων. Ag. 1380. ἐπιγνοὺς ἔργον οὐ καταίσιον. Ag. 1618. δρᾶσαι τόδ᾽ ἔργον οὐκ ἔτλας αὐτοκτόνως. Ag. 1634. τοὔργον οὐχ ἑκὰς τόδε. Choeph. 160. ἐν ἔργῳ βέλη 'πιπάλλων. Choeph. 229. σῆς ἔργον χερός. Choeph. 296. τοὔργον ἐστ᾽ ἐργαστέον. Choeph. 728. ἐπ᾽ ἔργοις δια-

πεπραγμένοις καλῶς. Choeph. 815. *ὅταν ἥκῃ μέρος ἔργων ἐπαΰσας πατρὸς ἔργῳ.* Choeph. 980. *ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς.* Choeph. 1001. *αἶ μελέων ἔργων.* Choeph. 1011. *ἀλγῶ μὲν ἔργα καὶ πάθος.* Eum. 471. *πάντως ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βροτούς.* Suppl. 583. *Διὸς τόδ' ἔργον.* Suppl. 586. *τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις.* Suppl. 593. *πάρεστι δ' ἔργον ὡς ἔπος.* Suppl. 880. *λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.* Suppl. 1020. *τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς.* — Prom. 638. *σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν.* Choeph. 662. *ἀνδρῶν τόδ' ἐστὶν ἔργον.* Eum. 704. *ἐμὸν τόδ' ἔργον λοισθίαν κρῖναι δίκην.* — *ἔργῳ facto, revera.* Prom. 336. *ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.* Prom. 1082. *ἔργῳ κοὐκ ἔτι μύθῳ χθὼν σεσάλευται.*

Ἔρδειν facere. Ag. 907. *ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;* Ag. 1633. *ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν.* Choeph. 506. *τὰ δ' ἄλλ' — ἔρδοις ἂν ἤδη.* Pers. 1016. *καὶ τάδ' ἔρξω.* Ag. 1511. *θανάτῳ τίσας ἅπερ ἦρξεν.* Sept. 906. *ὡς ἐρξάτην πολλὰ μὲν πολίτας.* Pers. 232. *καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.* Pers. 772. *πήματ' ἔρξαντες τόσα.* Ag. 1523. *ἦ σὺ τόδ' ἔρξαι τλήσῃ;* Ag. 1545. *παθεῖν τὸν ἔρξαντα.* Ag. 1643. *πρὶν παθεῖν ἔρξαντα.* Eum. 445. *εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπακτίους.* Suppl. 401. *μεταλγεῖς τὸ δίκαιον ἔρξαι.*

Ἐρεθίζειν commovere. Prom. 181. *ἐμὰς δὲ φρένας ἐρέθισε διάτορος φόβος.* Prom. 1047. *αἰθὴρ δ' ἐρεθιζέσθω βροντῇ.*

Ἐρείδειν urgere. Ag. 976. *νόσος γὰρ γείτων ὁμότοιχος ἐρείδει.* — *fulcire.* Prom. 350. *κίον' οὐρανοῦ τε καὶ χθονὸς ὤμοις ἐρείδων.* — *ἐρείδεσθαι fulciri, firmum esse.* Choeph. 636. *Δίκας δ' ἐρείδεται πυθμήν.* — *niti.* Ag. 64. *γόνατος κονίαισιν ἐρειδομένου.*

Ἐρείκειν lacerare. Pers. 1017. *πέπλον δ' ἐρείκω κολπίαν ἀκμῇ χερῶν.* — *frangere.* Ag. 641. *ναῦς γὰρ πρὸς ἀλλήλῃσιν Θρῃκίαι πνοαὶ ἤρεικον.*

Ἐρείκη erica. Ag. 286. *γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.*

Ἐρείπια rudera. Pers. 417. *θραύσμασίν τ' ἐρειπίων ἔπαιον.* Ag. 646. *ναυτικῶν τ' ἐρειπίων.*

Ἔρεισμα levamentum. Fragm. 395. *οἵ τοι στεναγμοὶ τῶν πόνων ἐρείσματα.*

Ἐρειψίτοιχος muros diruens. Sept. 863. *ἰὼ δωμάτων ἐρειψίτοιχοι.*

Ἐρεμνός niger. Ag. 1383. *ἐρεμνῇ ψακάδι φοινίας δρόσου.*

Ἐρέσσειν remigare. Pers. 414. *φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο.* Suppl. 704. *στείλασα λαῖφος παγκρότως ἐρέσσεται.* — *agere.* Ag. 52. *πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι.* Suppl. 536. *Ἰὼ οἴστρῳ ἐρεσσομένα.* — *pulsare.* Sept. 837. *ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον.* Pers. 1003. *ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.*

Ἐρέτης remex. Pers. 39. *ναῶν ἐρέται δεινοί.*

Ἐρετμός remus. Ag. 52. *πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι.*

Ἐρευνᾶν sectari. Prom. 1040. *ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.*

Ἐρεχθεύς Eum. 817. πρὸς δόμοις Ἐρεχθέως.

Ἐρημία desertum. Prom. 2. ἄβατον εἰς ἐρημίαν.

Ἔρημος desertus, solus. Prom. 270. ἐρήμου τοῦδ' ἀγείτονος πάγου. Pers. 720. μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα (μολεῖν). Ag. 836. ἧσθαι δόμοις ἔρημον. Fragm. 300, 10. δρυμοὺς ἐρήμους.

Ἐρημοῦν deserere, solum relinquere. Pers. 290. ἄναρχον τάξιν ἠρήμου θανών. Ag. 1040. τόνδ' ἐρημώσασ' ὄχον. Suppl. 511. οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ. Ag. 251. ἐρημωθέντος ἄρσενος θρόνου.

Ἐρίδματος sensu dubio Ag. 1440. ἔρις ἐρίδματος.

Ἐρικύμων multos foetus in utero ferens. Ag. 118. λαγίναν ἐρικύμονα φέρματι γένναν.

Ἐριννύς. Prom. 514. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐριννύες. Sept. 70. Ἀρά τ' Ἐριννὺς πατρὸς ἡ μεγασθενής. Sept. 556. Ἐριννύος κληστῆρα. Sept. 682. μελαναιγὶς δ' οὐκ εἶσι δόμων Ἐριννύς. Sept. 705. πατρὸς εὐκταίαν Ἐριννύν. Sept. 773. μὴ τελέσῃ καμψίπους Ἐριννύς. Sept. 849. τὸν δυσκέλαδόν θ' ὕμνον Ἐριννύος. Sept. 869. ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐριννὺς ἐπέκρανεν. Sept. 962. 977. μέλαινά τ' Ἐριννύς. Sept. 1047. ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς Κῆρες Ἐριννύες. Ag. 59. ὑστερόποινον πέμπει παραβᾶσιν Ἐριννύν. Ag. 450. κελαιναὶ δ' Ἐριννύες. Ag. 631. παιᾶνα τόνδ' Ἐριννύων. Ag. 729. νυμφόκλαυτος Ἐριννύς. Ag. 964. θρῆνον Ἐριννύος. Ag. 1090. ποίαν Ἐριννὺν τήνδε δώμασιν κέλῃ ἐπορθιάζειν; Ag. 1163. συγγόνων Ἐριννύων. Ag. 1408. Ἄτην Ἐριννύν τε. Ag. 1562. ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων. Choeph. 281. προσβολὰς Ἐριννύων. Choeph. 396. βοᾷ γὰρ λοιγὸν Ἐριννύς. Choeph. 570. φόνου δ' Ἐριννὺς οὐχ ὑπεσπανισμένη. Choeph. 641. χρόνῳ κλυτὴ βυσσόφρων Ἐριννύς. Eum. 318. 327. ὕμνος ἐξ Ἐριννύων. Eum. 487. ὦ Δίκα, ὦ θρόνοι τ' Ἐριννύων. Eum. 911. πότνι' Ἐριννύς.

Ἐριόστεπτος lana involutus. Suppl. 22. σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις ἐριοστέπτοισι κλάδοισιν.

Ἔρις Dea. Sept. 411. οὐδὲ τὴν Διὸς Ἔριν πέδῳ σκήψασαν ἐμποδὼν σχεθεῖν. Sept. 708. παιδολέτωρ Ἔρις ἅδ' ὀτρύνει. Sept. 1042. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.

Ἔρις discordia, rixa. Sept. 918. ἔριδι μαινομένᾳ. Ag. 682. δι' ἔριν αἱματόεσσαν. Ag. 1440. ἔρις ἐρίδματος. Choeph. 467. ἔριν αἱματηράν. — certamen, studium. Suppl. 635. ἀτιμώσαντες ἔριν γυναικῶν. Eum. 932. νικᾷ δ' ἀγαθῶν ἔρις ἡμετέρα διὰ παντός.

Ἑρκεῖος ad aulam pertinens. Choeph. 554. ἐφ' ἑρκείους πύλας. Choeph. 564. βαλὸν ἑρκείων πυλῶν. Choeph. 642. θύρας ἄκουσον ἑρκείας κτύπον.

Ἕρκος munimentum. Pers. 17. τὸ παλαιὸν Κίσσινον ἕρκος. Pers. 89. ἐχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης. Pers. 341. ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές. Ag. 248. τόδ' ἄγχιστον Ἀπίας γαίας μονόφρουρον ἕρκος. — septum. Ag. 1593. ἰδόντα τοῦτον τῆς Δίκης ἐν ἕρκεσιν.

Ἕρμα *scopulus*. Ag. 979. ἄφαντον ἕρμα. Eum. 534. τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν Δίκας. — *onus in utero ferendum*. Suppl. 575. λαβοῦσα δ' ἕρμα Δῖον.

Ἑρμαῖος nom. propr. Ag. 274. πρὸς Ἑρμαῖον λέπας Λήμνου.

Ἑρμαῖος *lucrosus*. Eum. 907. ἑρμαίαν δαιμόνων δόσιν.

Ἑρμηνεύς *interpres*. Ag. 602. παροῦσιν ἑρμηνεῦσιν. Ag. 1032. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ δεῖσθαι.

Ἑρμῆς *Mercurius*. Prom. 1038. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται λέγειν. Sept. 490. Ἑρμῆς εὐλόγως συνήγαγεν. Pers. 621. Γῆ τε καὶ Ἑρμῆ. Ag. 504. τόν τ' ἐμὸν τιμάορον Ἑρμῆν. Choeph. 1. 122. Ἑρμῆ χθόνιε. Choeph. 613. κιχάνει δέ μιν Ἑρμῆς. Choeph. 716. ξυγκαταβῆναι χθόνιον δ' Ἑρμῆν. Eum. 90. Ἑρμῆ φύλασσε. Suppl. 217. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις. Suppl. 245. τηρὸν Ἑρμοῦ ῥάβδον. Suppl. 301. Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε. Suppl. 898. Ἑρμῆ μεγίστῳ προξένῳ μαστηρίῳ. Psychag. 258. Ἑρμᾶν μὲν πρόγονον τίομεν. Fragm. 401. ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ.

Ἔρνος *proles*. Ag. 1506. ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν. Eum. 631. ἡ δ' ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος. Eum. 636. οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.

Ἕρπειν *repere*. Sept. 17. νέους ἕρποντας εὐμενεῖ πέδῳ. Eum. 39. ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν. — *incedere, ire*. Prom. 812. τούτου παρ' ὄχθας ἕρπε. Prom. 1026. ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος. Ag. 438. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρεί-δαις. Prom. sol. 181. εὐθεῖαν ἕρπε τήνδε.

Ἔῤῥειν *perire*. Pers. 718. Βακτρίων δ' ἔῤῥει πανώλης δῆμος. Pers. 925. ὀλοοὺς ἀπέλιπον Τυρίας ἐκ ναὸς ἔῤῥοντας. Ag. 408. ὀμμάτων δ' ἐν ἀχηνίαις ἔῤῥει πᾶσ' Ἀφροδίτη. Eum. 294. ὥστε μὴ οὐ παρημελημένον ἔῤῥειν. Eum. 717. ἡμῖν γὰρ ἔῤῥειν ἢ πρόσω τιμὰς νέμειν. Eum. 844. ἄτιμος ἔῤῥειν τοῦδ' ἀπόξενος πέδου.

Ἐῤῥωμένως *fortiter*. Prom. 65. πασσάλευ' ἐῤῥωμένως. Prom. 76. ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας.

Ἐρυθρὸς *ruber*. Eum. 256. ἐρυθρὸν ἐκ μελέων πέλανον. Prom. sol. 178. ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης.

Ἐρύκειν *prohibere*. Sept. 1067. ὅδε Καδμείων ἤρυξε πόλιν μὴ 'νατραπῆναι.

Ἔρυμα *munimentum*. Eum. 691. ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον. — *tumulus*. Choeph. 152. πρὸς ἔρυμα τόδε l. d.

Ἔρχεσθαι *ire, venire*. Prom. 302. τὴν σιδηρομήτορα ἐλθεῖν ἐς αἶαν. Prom. 358. ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος. Prom. 603. λαβρόσυτος ἦλθον. Prom. 666. ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ. Prom. 831. ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα. Prom. 847. ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος. Prom. 856. πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται. Prom. 868. τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις. Prom. 945. πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε. Prom. 964. κέλευθον ἥνπερ ἦλθες. Sept. 143. ἀκροβόλων δ' ἐπάλξεων λιθὰς ἔρχεται. Sept.

193. ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρχαῖα βρέτη. Sept. 527. ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην. Sept. 662. Ἀργείοισι Καδμείους ἅλις ἐς χεῖρας ἐλθεῖν. Sept. 689. ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι. Sept. 696. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις. Sept. 792. ἐπεῖθ' ἐπῆλθον; Sept. 828. ἦλθε δ' αἰακτὰ πήματ' οὐ λόγῳ. Pers. 262. τὰ πολλὰ βέλεα παμμιγῆ γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν δίαν. Pers. 348. ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ ἐλθών. Pers. 428. τοιάδ' ἐπ' αὐτοῖς ἦλθε συμφορὰ πάθους. Pers. 432. τίν' αὖ φὴς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν; Pers. 650. ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου. Pers. 683. ἐπεὶ κάτωθεν ἦλθον. Pers. 701. λοιμοῦ τις ἦλθεν σκηπτὸς ἢ στάσις πόλει; Pers. 711. μέγας τις ἦλθε δαίμων. Pers. 725. ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις. Pers. 819. ἐλθοῦσ' ἐς οἴκους. Ag. 174. καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν. Ag. 388. ἐλθὼν ἐς δόμον τὸν Ἀτρειδᾶν. Ag. 479. τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας. Ag. 497. ἅλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος. Ag. 574. ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός. Ag. 621. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν; Ag. 719. παραυτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἄν. Ag. 826. ἐς μέλαθρα καὶ δόμους ἐφεστίους ἐλθών. Ag. 891. παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας. Ag. 1180. ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτην νόμῳ; Ag. 1351. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι νείκης παλαιᾶς ἦλθε. Choeph. 117. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινά. Choeph. 136. ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ κατεύχομαί σοι. Choeph. 696. ἄλλως δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν. Choeph. 726. ὡς σαφέστερον ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν ἐλθὼν πύθηται τήνδε. Choeph. 760. ἀλλ' αὐτὸν ἐλθεῖν — ἄνωχθ' ὅσον τάχιστα. Choeph. 1060. νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτήρ. Eum. 11. ἐς τήνδε γαῖαν ἦλθε. Eum. 242. ἦλθον διώκουσα. Eum. 287. ἔλθοι. Eum. 342. μηδ' ἐς ἄγκρισιν ἐλθεῖν. Eum. 381. ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα. Eum. 546. καὶ μαρτυρήσων ἦλθον. Eum. 656. ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι. Eum. 736. μήτοι τιν' ἄνδρα δεῦρο προμνήστην χθονὸς ἐλθόντ' ἐποίησεν εὖ κεκασμένον δόρυ. Eum. 813. ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα. Suppl. 251. πᾶσαν αἶαν, ἣν δι' Ἄλγος ἔρχεται. Suppl. 259. χώρας γὰρ ἐλθὼν Ἆπις ἐκ Ναυπακτίας. Suppl. 517. ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι. Suppl. 785. ἐλθέτω μόρος πρὸ κοίτας γαμηλίου τυχών. Suppl. 906. λέγοις ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε. Suppl. 1013. μηδ' ὑπ' ἀνάγκας γάμος ἔλθοι Κυθερείας. Arm. iud. 162. Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος. Fragm. 269. ὡς τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς. Fragm. 337. ὅτι νῦν ἦλθ' ἐπὶ στόμα. — Prom. 121. τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόντα. — (ἔρχεται Sept. 143. Suppl. 251. Fragm. 269. ἔρχεσθαι Ag. 891. ἐλήλυθε Prom. 945. ἐλεύσομαι Suppl. 517. ἐλεύσεται Prom. 856. ἦλθον Prom. 603.

Sept. 193. Pers. 683. Eum. 242. 381. 546. ἦλθες Prom. 831. 964. Ag. 497. ἦλθε Prom. 358. 666. Sept. 828. Pers. 262. 428. 701. 711. 745. Ag. 174. 574. 1351. Choeph. 689. 1069. Eum. 11. Fragm. 162. 337. ἤλθετον Ag. 1180. ἦλθον Sept. 792. Eum. 656. ἔλθῃς Sept. 696. ἔλθοι Prom. 866. Sept. 689. Eum. 287. Suppl. 1013. ἐλθέ Pers. 650. ἐλθέτω Suppl. 785. ἐλθών Prom. 847. Sept. 527. Pers. 348. Ag. 388. 826. Choeph. 726. Suppl. 259. 906. ἐλθόντα Prom. 121. Eum. 736. ἐλθοῦσα Pers. 819. ἐλθοῦσαι Eum. 813. ἐλθόν Ag. 478. ἐλθεῖν Prom. 302. Sept. 662. Pers. 432. Ag. 621. 719. Choeph. 117. 136. 760. Eum. 342.)

***Ἐρώδιος** ardea.* Psychag. 257. *ἐρώδιος γὰρ ὕψοθεν ποτώμενος ὄνθῳ σε πλήξει.*

***Ἔρως** amor, cupiditas.* Prom. 593. *ἡ Διὸς θάλπει κέαρ ἔρωτι.* Prom. 905. *μηδὲ κρεισσόνων θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοιτό με.* Sept. 670. *κακοῦ δ' ἔκβαλ' ἔρωτος ἀρχάν.* Ag. 332. *ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ.* Ag. 526. *ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;* Ag. 723. *δηξίθυμον ἔρωτος ἄνθος.* Ag. 1457. *ἔρως αἱματολοιχός.* Choeph. 590. *παντόλμους ἔρωτας ἄταισι συννόμους βροτῶν.* Choeph. 592. *θηλυκρατὴς — ἔρως.* Eum. 827. *δεινὸς εὐκλείας ἔρως.* Suppl. 516. *τῶν σ' ἔρως ἔχει τυχεῖν.* Suppl. 1026. *ψιθυροὶ τρίβοι τ' ἐρώτων.* Dan. 36, 2. *ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν.* Fragm. 398. *ἔφριξ' ἔρωτι τοῦδε μυστικοῦ τέλους.*

***Ἐρωτᾶν** interrogare.* Prom. 226. *ὃ δ' οὖν ἐρωτᾶτε.* Sept. 164. *ὑμᾶς ἐρωτῶ.* Pers. 284. *τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.*

Ἐς, Ἐσαεί, Ἐσαναγκάζειν etc. vid. ***Εἰς, Εἰσαεί, Εἰσαναγκάζειν*** etc.

***Ἔσθειν** edere.* Ag. 1579. *ἔσθει βορὰν ἄσαντον.*

***Ἔσθημα** vestis.* Sept. 259. *πολεμίων δ' ἐσθήματα.* Pers. 822. *λακίδες ἀμφὶ σώματι στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων.* Pers. 834. *ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι ἐσθημάτων κλύουσαν.* Ag. 548. *ἔμπεδον σίνος ἐσθημάτων.* Eum. 982. *φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι.*

***Ἐσθής** vestis.* Sept. 853. *ὁπόσαι στρόφον ἐσθῆσιν περιβάλλονται.* Ag. 1243. *ἐκδύων ἐμὲ χρηστηρίαν ἐσθῆτα.* Suppl. 234. *οὐ γὰρ Ἀργολὶς ἐσθὴς γυναικῶν.*

***Ἐσθίειν** comedere.* Philoct. 231. *φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός.*

***Ἐσθλός** bonus, probus.* Pers. 31. *ἐσθλὸς Ἰμαῖος.* Pers. 218. *ἐσθλά σοι πέμπειν.* Pers. 244. *καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.* Pers. 313. *ὅ τ' ἐσθλὸς Ἀριόμαρδος.* Pers. 762. *Ἀρταφρένης — ἐσθλός.* Ag. 341. *πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.* Ag. 411. *ἐσθλά τις δοκῶν ὁρᾶν.* Ag. 594. *δωμάτων κύνα ἐσθλὴν ἐκείνῳ.* Ag. 752. *τὰ χρυσόπαστα δ' ἐσθλά* l. d. Choeph. 145. *ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω.* Suppl. 218. *ἐλευθέροις νῦν ἐσθλὰ κηρυκευέτω.*

***Ἐσμός** turba.* Suppl. 30. *ἐσμὸν ὑβριστὴν Αἰγυπτογενῆ.* Suppl. 220. *ἐσμὸς ὡς πελειάδων.* Suppl. 667. *νούσων δ' ἐσμὸς ἀπ' ἀστῶν ἵζοι.*

Ἑσπέρος *occidentalis.* Prom. 348. πρὸς ἑσπέρους τόπους.

Ἔστε *donec.* Prom. 455. ἔστε δή σφιν ἀντολὰς ἐγὼ ἄστρων ἔδειξα. Prom. 659. ἔστε δὴ πατρὶ ἔτλην γεγωνεῖν. — Prom. 376. ἔστ᾽ ἂν Διὸς φρόνημα λωφήσῃ χόλου. Prom. 699. ἔστ᾽ ἂν καὶ τὰ λοιπὰ προσμάθῃς. Prom. 794. ἔστ᾽ ἂν ἐξίκῃ πρὸς Γοργόνεια πεδία. Eum. 427. ἔστ᾽ ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου σφαγαὶ καθαιμάξωσι.

Ἑστία *ara, focus.* Sept. 257. μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν. Eum. 272. πρὸς ἑστίᾳ θεοῦ Φοίβου. Eum. 418. ζῶσαι φυλάσσων ἑστίας ἀμῆς πέλας. Suppl. 367. κρατύνεις βωμὸν ἑστίαν χθονός. Ag. 1026. τὰ μὲν γὰρ ἑστίας μεσομφάλου ἕστηκεν ἤδη μῆλα. Ag. 1410. ἕως ἂν αἴθῃ πῦρ ἐφ᾽ ἑστίας ἐμῆς Αἴγισθος. Ag. 1569. προστρόπαιος ἑστίας μολών. Choeph. 48. ἰὼ πανοιζὺς ἑστία. Choeph. 620. τίω δ᾽ ἀθέρμαντον ἑστίαν δόμων. Fragm. 295. ἐν στέγῃ τις ἥμενος παρ᾽ ἑστίᾳ. — *lares, domus.* Pers. 849. οὐδ᾽ ἀφ᾽ ἑστίας συθείς. Ag. 415. τὰ μὲν κατ᾽ οἴκους ἐφ᾽ ἑστίας ἄχη. Ag. 942. σοῦ μολόντος δωματῖτιν ἑστίαν. Choeph. 262. ὦ σωτῆρες ἑστίας πατρός. Choeph. 960. ὅταν ἀφ᾽ ἑστίας μύσος πᾶν ἐλάσῃ.

Ἑστιοῦχος *domesticus.* Pers. 503. ἥκουσιν ἐκφυγόντες — ἐφ᾽ ἑστιοῦχον γαῖαν. — *qui in foco versatur.* Orith. 267. εἰ γάρ τιν᾽ ἑστιοῦχον ὄψομαι μόνον l. d.

Ἐσχάρα *ara.* Pers. 201. πρὸς ἐσχάραν Φοίβου. Eum. 108. ἐπ᾽ ἐσχάρᾳ πυρὸς ἔθυον. Eum. 773. λιπαροθρόνοισιν ἡμένας ἐπ᾽ ἐσχάραις.

Ἔσχατος *ultimus.* Prom. 416. γᾶς ἔσχατον τόπον. Prom. 669. γῆς ἐπ᾽ ἐσχάτοις ὅροις. Pers. 848. ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός.

Ἔσω *intra, intus.* Sept. 539. ἔσω πυλῶν ῥέουσαν. Ag. 1022. ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ. Choeph. 779. πρὸ δὲ δὴ χθρῶν τῶν ἔσω μελάθρων. — Ag. 1316. πέπληγμαι καιρίαν πληγὴν ἔσω. Choeph. 547. τήνδε μὲν στείχειν ἔσω. Choeph. 836. ἔσω παρελθών. Choeph. 906. ἔσω καθημένη. Choeph. 908. ἡμένας ἔσω. Cf. *Εἴσω.*

Ἔσωθεν *intrinsecus.* Pers. 11. ὀρσολοπεῖται θυμὸς ἔσωθεν. Ag. 964. ὑμνῳδεῖ θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν θυμός. Choeph. 789. οἵ τ᾽ ἔσωθε δωμάτων πλουτογαθῆ μυχὸν νομίζετε.

Ἕταρος *socius.* Pers. 949. ἀγαθῶν ἑτάρων.

Ἔτειος *annuus.* Ag. 2. φρουρᾶς ἐτείας μῆκος.

Ἐτεοκλῆς nom. propr. Sept. 990. ἰὼ ἄναξ Ἐτεόκλεις ἀρχηγέτα. Sept. 998. Ἐτεοκλέα μὲν τόνδ᾽ ἐπ᾽ εὐνοίᾳ χθονὸς θάπτειν ἔδοξε.

Ἐτέοκλος nom. propr. Sept. 440. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους.

Ἑτεραλκής *alteri parti auxilium ferens.* Pers. 913. Ἄρης ἑτεραλκής.

Ἑτερορρεπής *in alteram partem vergens, alterutri suum tribuens.* Suppl. 398. Ζεὺς ἑτερορρεπής.

Ἕτερος *alter.* Choeph. 398. ἄτην ἑτέραν ἐπάγουσαν ἐπ᾽ ἄτῃ. Eum. 168. ἕτερον ἐν κάρᾳ μιάστορ᾽ ἐκ κείνου πάσεται. — *infaustus.* Ag.

147. θυσίων ἑτέρων, ἀνομίων τιν', ἄδμητον.

Ἑτερόφωνος *alia lingua utens, peregrinus.* Sept. 154. πόλιν δορίπονον μὴ προδῶθ' ἑτεροφώνῳ στρατῷ.

Ἔτης *civis, amicus.* Suppl. 244. ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω; Fragm. 312. οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ.

Ἐτήτυμος *verus.* Pers. 723. τοῦτ' ἐτήτυμον; Choeph. 936. ἐτήτυμος Διὸς κόρα. Prom. 598. τὰν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς.

Ἐτητύμως *vere.* Ag. 161. εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος χρὴ βαλεῖν ἐτητύμως. Ag. 464. εἰ δ' ἐτητύμως, τίς οἶδεν; Ag. 668. τίς ποτ' ὠνόμαζεν ὧδ' ἐς τὸ πᾶν ἐτητύμως; Ag. 1269. εἰ δ' ἐτητύμως μόρον τὸν αὐτῆς οἶσθα. Eum. 466. ἥξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως. Suppl. 717. περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως.

μυθομενᾶν νεφελᾶν ὀρθοῖ. Sept. 341. πικρὸν δ' ὄμμα θαλαμηπόλων. Sept. 512. μᾶλλον θεοῦ σέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον. Sept. 519. γοργὸν δ' ὄμμ' ἔχων προσίσταται. Sept. 605. ποδώκες ὄμμα. Sept. 678. ξηροῖς ἀκλαύστοις ὄμμασι. Sept. 766. κρεισσοτέκνων δ' ἀπ' ὀμμάτων ἐπλάγχθη. Pers. 805. ἄφωνα σημαινοῦσιν ὄμμασιν βροτῶν. Pers. 81. κυάνεον δ' ὄμμασι λεύσσων. Pers. 596. φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν. Ag. 232. ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ. Ag. 262. εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ. Ag. 407. ὀμμάτων δ' ἐν ἀχηνίαις ἔῤῥει πᾶσ' Ἀφροδίτα. Ag. 506. φαιδροῖσι τοῖς δ' ὄμμασι δέξασθε κόσμῳ βασιλέα. Ag. 527. ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο. Ag. 722. μαλθακὸν ὀμμάτων βέλος. Ag. 753. παλιντρόποισιν ὄμμασιν. Ag. 770. οὐκ ἔστι λαθεῖν ὄμματα φωτός. Ag. 863. ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω. Ag. 921. μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος. Ag. 961. πεύθομαι δ' ἀπ' ὀμμάτων νόστον. Ag. 1267. ὡς ἀσφάδαστος — ὄμμα συμβάλω τόδε. Ag. 1403. λίπος ἐπ' ὀμμάτων αἵματος. Choeph. 97. ἀστρέφοισιν ὄμμασιν. Choeph. 183. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες. Choeph. 660. δικαίων τ' ὀμμάτων παρουσία. Choeph. 727. σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων κεύθουσα. Choeph. 798. ἰδεῖν φιλίοις ὄμμασι. Choeph. 804. νύκτα πρό τ' ὀμμάτων σκότον φέρει. Choeph. 1054. κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές. Eum. 54. ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ λίβα. Eum. 104. εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται. Eum. 385. θαῦμα δ' ὄμμασιν πάρα. Eum. 928. στέργω δ' ὄμματα Πειθοῦς. Suppl. 196. ὄμματος παρ' ἡσύχου. Suppl. 207. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος. Suppl. 404. δεῖ τοι — ἐς βυθὸν μολεῖν δεδορκὸς ὄμμα. Suppl. 697. πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ὁδόν. Suppl. 794. βίαια μὴ φίλοις ὁρῶν ὄμμασιν ἐνδίκοις. Suppl. 927. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων. Suppl. 982. ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν. Fragm. 292. τὸ σκαιὸν ὄμμα παραβαλών. — blande de hominibus dictum. Choeph. 236. ὦ τερπνὸν ὄμμα. Choeph. 124. πατρῴων ὀμμάτων ἐπισκόπους. — sensu translato. Pers. 165. ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν. Eum. 979. ὄμμα γὰρ πάσης χθονὸς Θησῇδος ἐξίκοιτ' ἄν. — Pers. 420. κελαινῆς νυκτὸς ὄμμα. Xantr. 159. ἀστραπὸν ὄμμα Λυσσας κόρης.

Ὀμματοστερής oculis privatus. Eum. 900. φλεγμός τ' ὀμματοστερὴς φυτῶν.

Ὀμματοῦν illustrare. Suppl. 462. ὠμματωσα γὰρ σαφέστερον. — Choeph. 841. οὔτοι φρένα κλέψαιεν ὠμματωμένην.

Ὀμνύναι iurare. Sept. 511. ὄμνυσι δ' αἰχμήν. — Ag. 1257. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας.

Ὁμοδέμνιος tori socius. Ag. 1079. τὸν ὁμοδέμνιον πόσιν.

Ὁμοιοπρεπής similis. Ag. 767. ξυγχαίρουσιν ὁμοιοπρεπεῖς.

Ὅμοιος similis, par. Prom. 78. ὅμοια μορφῇ γλῶσσά σου γηρύεται. Sept. 660. ὀργὴν ὅμοιος τῷ πίκρω αὐδωμένῳ. Sept. 703. πέφρικα τὰν ὠλεσίοικον θεὸν, οὐ θεοῖς ὁμοίαν. Ag. 595. καὶ τἄλλ' ὁμοίαν πάντα. Ag. 1284. ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει. Ag. 1397. ἐκ τῶν ὁμοίων, Choeph. 204. καὶ μὴν στίβοι γε — ποδῶν ὅμοιοι. Choëph. 255. πόθεν ἕξεις ὁμοίας χειρὸς εὐθοίνου γέρας; Choeph. 491. τὰς ὁμοίας ἀντίδος βλάβας λαβεῖν. Eum. 388. ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει. Suppl. 431. ὁμοίαν θέμιν. Suppl. 492. Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος τρέφει. — ὅμοιόν ἐστι perinde est. Ag. 1212. καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω. Ag. 1376. σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις ὅμοιον. — ὅμοια pariter. Eum. 231. ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν.

Ὁμοίως pariter. Pers. 210. οὐδεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός. Ag. 67. Δαναοῖσιν Τρωσί θ' ὁμοίως. Choeph. 317. χάριτες δ' ὁμοίως κέκληνται γόος εὐκλεής. Choeph. 333. τάφος δ' ἱκέτας δέδεκται φυγάδας θ' ὁμοίως. Choeph. 698. ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν. Choeph. 905. ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας. Eum. 268. ἐπίσταμαι — λέγειν ὅπου δεῖ σιγᾶν θ' ὁμοίως. Eum. 338. κρατερὸν ὄνθ' ὁμοίως μαυροῦμεν l. d. Eum. 498. πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν.

Ὁμοκλή vox. Edon. 51. πίμπλησι μέλος, μανίας ἐπαγωγὸν ὁμοκλάν.

Ὁμολωΐδες nomen portae Thebanae. Sept. 552. Ὁμολωΐσιν δὲ πρὸς πύλαις.

Ὁμοπάτριος eodem patre natus. Prom. 557. ὅτε τὰν ὁμοπάτριον ἤγαγες Ἡσιόναν.

Ὁμόπτερος similia vela habens. Pers. 551. ὁμόπτεροι κυανώπιδες νᾶες. — similis. Choeph. 172. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος. — cognatus. Suppl. 221. κίρκων τῶν ὁμοπτέρων φόβῳ.

Ὁμόσπλαγχνος cognatus. Sept. 871. ὁμοσπλάγχνων τε πλευρωμάτων.

Ὁμόσπορος germanus. Sept. 802. βασιλέοιν δ' ὁμοσπόροιν πέπωκεν αἷμα γαῖα. Sept. 915. ὑπ' ἀλλαλοφόνοις χερσὶν ὁμοσπόροισιν. Sept. 916. ὁμόσποροι δῆτα. Ag. 1490. βιάζεται δ' ὁμοσπόροις ἐπιῤῥοαῖσιν αἱμάτων μέλας Ἄρης. Choeph. 240. καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου.

Ὁμόστολος similis. Suppl. 491. μορφῆς δ' οὐχ ὁμόστολος φύσις.

Ὁμότοιχος conterminus. Ag. 976. γείτων ὁμότοιχος ἐρείδει.

Ὁμοῦ simul. Pers. 393. παρῆν ὁμοῦ κλύειν πολλὴν βοήν. Pers. 999. ἴυζε μέλος ὁμοῦ τιθείς. Pers. 418. οἰμωγὴ δ' ὁμοῦ κωκύμασιν κατεῖχε πελαγίαν ἅλα. Ag. 1124. τὸ δ' ἐπίφοβα δυσφάτῳ κλαγγᾷ μελοτυπεῖς ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις. Choeph. 495. οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόνον. Choeph. 809. θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει. Eum. 276. χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.

Ὁμόφωνος concinens. Ag. 153. τοῖς δ' ὁμόφωνον αἴλινον, αἴλινον εἰπέ.

'Ομφαλός *umbilicus*. Eum. 40. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα. Eum. 159. γᾶς ὀμφαλόν.

"Ομφαξ *uva immatura*. Ag. 944. ὅταν δὲ τεύχῃ Ζεὺς γ' ἀπ' ὄμφακος πικρᾶς οἶνον.

'Ομφή *vox*. Suppl. 789. ἴυζε δ' ὀμφάν.

'Ομώνυμος *ad idem nomen pertinens*. Sept. 971. δύστονα κήδε' ὁμώνυμα.

'Ομῶς *pariter*. Prom. 738. ἐς τὰ πάνθ' ὁμῶς βίαιος. Eum. 366. δυσοδοπαίπαλα δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς. Eum. 662. τότ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς.

"Ομως *tamen*. Sept. 602. ὅμως δ' ἐπ' αὐτῷ φῶτα — ἀντιτάξομεν. Pers. 250. ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος. Pers. 285. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν. Pers. 513. ὅμως δ' ἐπειδὴ τῆδ' ἐκύρωσεν φάτις ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω. Pers. 677. ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ ἥκω. Ag. 580. ὅμως δ' ἔθυον. Ag. 1228. καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ' ὅμως. Choeph. 378. τοκεῦσι δ' ὅμως τελεῖται. Choeph. 921. τοῦθ' ὅμως αἱρούμεθα. Eum. 74. ὅμως δὲ φεῦγε. Eum. 453. ὅμως δ' ἄμεμφον ὄντα σ' αἱροῦμαι πόλει. Suppl. 473. ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον. Suppl. 711. ὅμως ἄμεινον — ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτέ. — in secundaria sententia positum. Pers. 287. λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως. Choeph. 113. μέμνησ' 'Ορέστου, κεἰ θυραῖος ἔσθ' ὅμως. Sept. 694. πείθου γυναιξὶ καίπερ οὐ στέργων ὅμως. Eum. 451. κατηρτυκὼς ὅμως ἱκέτης προσῆλθες. Sept. 792. βαρέα δ' οὖν ὅμως φράσον. Pers. 826. ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως ψυχῇ διδόντες ἡδονήν. Ag. 963. τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ θρῆνον 'Ερινύος.

"Οναρ *somnium*. Ag. 82. ὄναρ ἡμερόφαντον ἀλαίνει. Choeph. 519. ἦ καὶ πέπυσθε τοὔναρ. Suppl. 865. ὄναρ, ὄναρ μέλαν. — ὄναρ *per somnium*. Eum. 116. ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ. Eum. 126. ὄναρ διώκεις θῆρα. — Add. "Ονειρος.

'Ονειδίζειν *exprobrare*. Choeph. 904. αἰσχύνομαί σοι ταῦτ' ὀνειδίσαι σαφῶς.

"Ονειδος *probrum, ignominia*. Sept. 364. θένει δ' ὀνείδει μάντιν. Sept. 521. τὸ γὰρ πόλεως ὄνειδος. Pers. 743. τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν. Ag. 1541. ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους. Choeph. 488. ἆρ' ἐξεγείρῃ τοιάδ' ὀνείδεσιν; Eum. 97. ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται. Eum. 130. ἄλγησον ἦπαρ ἐνδίκοις ὀνείδεσιν. Eum. 150. ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολόν.

'Ονειρόμαντις *somniorum interpres*. Choeph. 33. τορὸς γὰρ φόβος ὀρθόθριξ δόμων ὀνειρόμαντις.

"Ονειρον *somnium*. Choeph. 534. τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον. Choeph. 543. ὡς τοὔνειρον ἐννέπει τόδε. Ag. 281. ὀνείρων φάσματα. Ag. 1191. ὀνείρων προσφερεῖς μορφώμασιν. Ag. 13. εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην. — Choeph. 524. ἐν τοὔνείρατι. Prom. 446. ὀνειράτων ἀλίγκιοι μορφαῖσι. Prom. 483.

κάκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι. Ag. 477. ὀνειράτων δίκην. Ag. 954. δίκαν δυσκρίτων ὀνειράτων. Choeph. 37. κριταί τε τῶνδ' ὀνειράτων. Choeph. 516. ἔκ τ' ὀνειράτων καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη. Choeph. 916. δεῖξ ὀνειράτων φόβος. Eum. 150. ὄνειδος ἐξ ὀνειράτων μολόν. Pers. 172. νυκτέροις ὀνείρασι. Ag. 865. ἐν δ' ὀνείρασιν — ἐξηγειρόμην. Prom. 658. τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασιν ξυνειχόμην. Prom. 660. νυκτίφοιτ' ὀνείρατα.

Ὀνειρόφαντος *somnio similis.* Ag. 409. ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισιν δόξαι.

Ὀνήσιμος *fructuosus.* Eum. 884. ἐπισσύτους βίου τύχας ὀνησίμους.

Ὄνησις *fructus.* Ag. 341. πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.

Ὄνθος *stercus.* Psychag. 257. ὄνθῳ σε πλήξει.

Ὄνομα *nomen.* Prom. 210. Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία. Prom. 595. πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις; Pers. 276. ὢ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν. Sept. 559 s. ἐξυπτιάζων ὄνομα Πολυνείκους βίαν, δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος. Eum. 8. τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον. Suppl. 315. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον. Suppl. 317. καὶ τοῦδ' ἄνοιγε τοὔνομα. (Suppl. 853. οἰζύος ὄνομ' ἔχων.) Suppl. 916. τί σοι λέγειν χρὴ τοὔνομα; Aetn. 6. τί δῆθεν αὐτοῖς ὄνομα θήσονται βροτοί;

Ὀνομάζειν *nominare.* Prom. 599. θεόσυτόν τε νόσον ὠνόμασας. Ag. 667. τίς ποτ' ὠνόμαζεν ὧδ' ἐς τὸ πᾶν ἐτητύμως — τὰν δοριγαμβρον ἀμφινεικῆ θ' Ἑλέναν; Fragm. 293. αἱ δ' ἔπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι.

Ὄνος *asinus.* Prom. sol. 180. ἵππων ὄνων τ' ὀχεῖα.

Ὀνοτάζεσθαι *abominari.* Suppl. 10. γάμον Αἰγύπτου παίδων — ὀνοταζόμεναι.

Ὄνυξ *unguis.* Choeph. 25. ὄνυχος ἄλοκι νεοτόμῳ.

Ὄξος *acetum.* Ag. 313. ὄξος τ' ἄλειφά τ' ἐγχέας. Cabir. 86. ὄξους σπανίζειν δῶμα ποιήσαντας.

Ὀξυβόας *alta voce clamans.* Ag. 57. οἰωνόθροον γόον ὀξυβόαν.

Ὀξυγλυκύς *dulcacidus.* Fragm. 329. ὀξυγλυκεῖαν τἄρα κοκκιεῖς ῥοάν.

Ὀξύγοος *alta voce eiulans.* Sept. 302. ὀξυγόοις λιταῖσιν.

Ὀξύθυμος *iracundus.* Eum. 675. βουλευτήριον αἰδοῖον, ὀξύθυμον.

Ὀξυκάρδιος *iracundus.* Sept. 889. ἐμοιράσαντο δ' ὀξυκάρδιοι κτήματα.

Ὀξυμήνιτος *iracundia commissus.* Eum. 450. φόνου διαιρεῖν ὀξυμηνίτου δίκας.

Ὀξύμολπος *stridulo cantu editus.* Sept. 1014. ὀξυμόλποις προσείβειν οἰμώγμασιν.

Ὀξυπευκής *acie amarus.* Choeph. 631. ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ.

Ὀξύπρωρος *acutus.* Prom. 421. ὀξυπρώροισι βρέμων ἐν αἰχμαῖς.

Ὀξύς *acutus.* Sept. 936. ἐπηλάλαξαν Ἀραὶ τὸν ὀξὺν νόμον. Pers. 1015. ἄυτει δ' ὀξύ. Ag. 1362. κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγήν. Suppl. 884. οὐκ ἀκούετ' ὀξὺ τῶν ἐμῶν λόγων.

Ὀξύστομος *acuto rostro praeditus.* Prom. 667. ὀξυστόμῳ μύωπι χρι-

σθεῖσα. Prom. 805. ὀξυστόμους γὰρ — Γρύπας φύλαξαι.

'Οξύχειρ celeri manuum motu editus. Choeph. 23. ὀξύχειρι σὺν κτύπῳ.

'Οπαδός comes. Ag. 414. βέβακεν ὄψις οὐ μεθύστερον πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις. Suppl. 963. ἐμοὺς δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους ἔταξαν. Suppl. 1001. ὑποδέξασθε δ' ὀπαδοὶ μέλος.

'Οπάζειν addere, dare. Prom. 252. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα. Pers. 748. ἐξ οὖτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν. Eum. 503. παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασε. Eum. 592. Ζεὺς — τόνδε χρησμὸν ὤπασε. Prom. 8. παντέχνου πυρὸς σέλας θνητοῖσι κλέψας ὤπασεν. Prom. 30. βροτοῖσι τιμὰς ὤπασας. — facere. Sept. 238. γυναικῶν οἷον ὤπασας γένος. Sept. 474. ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι.

'Οπάων comes. Choeph. 758. ἄγειν κελεύει δορυφόρους ὀπάονας. Suppl. 487. ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων ξύμπεμψον. Suppl. 932. σὺν φίλοις ὀπάοσι.

"Οπη ubi. Prom. 641. ἐνταῦθ', ὅπη μέλλει τις οἴσεσθαι δακρύ. — quo. Prom. 563. σήμηνον ὅπη γῆς ἡ μογερὰ πεπλάνημαι. Ag. 1514. ἀμηχανῶ — ὅπᾳ τράπωμαι. — qua ratione. Prom. 908. τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπᾳ φύγοιμ' ἄν. Ag. 67. ἔστι δ' ὅπη νῦν ἔστι. Sept. 641. τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπη τελεῖ. Choeph. 1017. οὐ γὰρ οἶδ' ὅπη τελεῖ. Prom. 877. ὅπως δὲ χὤπη. Pers. 588. οὐδ' ἔχω μαθεῖν ὅπη πημονὰς ἀλύξω.

'Οπηδεῖν sequi. Fragm. 271. ἐξῆς δ' ὀπηδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.

"Οπιθεν a tergo. Pers. 962. ὄπιθεν ἑπόμενοι.

'Οπισθοβριθής a parte posteriore gravis. Fragm. 366. ὀπισθοβριθὲς ἔγχος.

'Οπισθόπους pedissequa. Choeph. 702. ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους.

"Οπλα arma. Sept. 114. φόβος δ' ἀρηΐων ὅπλων. Sept. 489. ὅπλων σχέσιν μωμητός. Pers. 371. πᾶς θ' ὅπλων ἐπιστάτης. Myrm. 127. ὅπλων ὅπλων δεῖ. Pers. 449. φράξαντες εὖ χαλκοῖς δέμας ὅπλοισιν.

'Οπλίζειν instruere. Sept. 415. φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη. — Choeph. 537. οὔφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο l. c.

'Οπλισμός armatura. Ag. 393. κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμούς.

'Οπλίτης miles. Sept. 699. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

'Οπόθι ubi. Suppl. 117. ὁπόθι θάνατος ἀπῇ.

"Οποι quo. Pers. 451. ὥστ' ἀμηχανεῖν ὅποι τράποιντο. Ag. 1492. ὅποι δὲ καὶ προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει. Suppl. 599. δήμου κρατοῦσα χεὶρ ὅποι πληθύνεται.

'Οποῖος qualis. Eum. 863. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα. Prom. 473. ὁποίοις φαρμάκοις ἰάσιμος.

'Οποιόσπερ qualis. Choeph. 658. ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα.

'Οπόσος quantus. Sept. 714. χθόνα ναίειν διαπήλας, ὁπόσαν καὶ φθιμένοισι κατέχειν. — ὁπόσοι quotquot. Sept. 852. δυσαδελφόταται πασῶν, ὁπόσαι στρόφον ἐσθῆσιν περιβάλλονται. Sept. 910. πρὸ

πασῶν γυναικῶν, ὁπόσαι τεκνογόνοι κέκληνται. Pers. 121. πᾶσι θεοῖς —, ὁπόσοι τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν. Prom. 409. ὁπόσοι τ' ἔποικον ἁγνᾶς Ἀσίας ἕδος νέμονται.

Ὁπότερος *uter.* Suppl. 429. ὁπότερ' ἂν κτίσῃς.

Ὅπου *ubi.* Sept. 994. ὅπου τιμιώτατον. Choeph. 575. σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια. Eum. 267. ἐπίσταμαι — λέγειν ὅπου δίκη σιγᾶν θ' ὁμοίως. Eum. 291. τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν. Eum. 401. ὅπου τὰ χαίρειν μηδαμοῦ νομίζεται. Eum. 492. ἔσθ' ὅπου τὸ δεινὸν — δειμανεῖ. Suppl. 949. τοῦ γὰρ προτέρα μῆτις, ὅπου χρὴ δώματα ναίειν. Fragm. 308. ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη. Fragm. in Fabricii Bibl. Gr. T. XII. p. 626. ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός.

Ὀπτήρ *speculator.* Suppl. 182. τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.

Ὀπτός *assus.* Ag. 1068. ὀπτάς τε σάρκας.

Ὄπωρα *aestas.* Fragm. 300. νέας δ' ὀπώρας ἡνίκ' ἀνανθῇ στάχυς. — *pubertas.* Suppl. 976. τέρειν' ὄπωρα δ' εὐφύλακτος οὐδαμῶς. Suppl. 993. ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει.

Ὅπως *quomodo, ut.* Prom. 374. σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι. Prom. 544. φέρ' ὅπως ἄχαρις χάρις. Prom. 643. οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρή. Prom. 877. ὅπως δὲ χὤπῃ, ταῦτα δεῖ μακροῦ χρόνου εἰπεῖν. Prom. 942. κρατείτω τόνδε τὸν βραχὺν χρόνον, ὅπως θέλει. Ag. 108. ὅπως Ἀχαιῶν δίθρονον κράτος — πέμπει θούριος ὄρνις. Ag. 1344. Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως. Eum. 551. σὺ δ' εἴσαγε ὅπως ἐπίστᾳ. Eum. 561. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες. Suppl. 235. ὅπως δὲ χώραν — μολεῖν ἔτλης' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει. Suppl. 275. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοί, ὅπως τόδ' ὑμῖν ἐστὶν Ἀργεῖον γένος. Suppl. 287. διδαχθεὶς ἂν τόδ' εἰδείην πλέον, ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν. — Ag. 606. οὐκ ἔσθ' ὅπως λέξαιμι. Choeph. 190. ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω —. comparationi inserviens. Prom. 1003. ὀχλεῖς μάτην με, κῦμ' ὅπως, παρηγορῶν. — cum superlativo, *quam.* Ag. 586. ὅπως ἄριστα. Ag. 591. 1323. Choeph. 724. 865. Suppl. 460. Sacerd. 74. ὅπως τάχιστα. — Suppl. 817. σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν. — *ut,* tempus significans. Prom. 228. ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον καθέζεται. Pers. 194. τὸν δ' ὅπως ὁρᾷ Ξέρξης. — *ut,* consilium significans, cum futuri indicativo. Ag. 821. ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον. Suppl. 405. ὅπως ἄνατα ταῦτα — ἐκτελευτήσει. Suppl. 444. ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται, δεῖ κάρτα θύειν. — Prom. 67. ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ. — cum futuro et coniunctivo. Choeph. 263 s. σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα, γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε. — cum coniunctivo. Pers. 654. ὅπως καινά τε κλύῃς νέα τ' ἄχη, δέσπο-

τα δεσπότου φάνηθι. Ag. 1681. *Ὀρέστης ἆρά που βλέπει φάος, ὅπως κατελθὼν — ἀμφοῖν γένηται φονεύς;* Choeph. 860. *ἀποσταθῶμεν —, ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν εἶναι.* Prom. 461. *ὅπως θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων γένωνθ', ὑφ' ἅρματ' ἤγαγον.* — cum optativo. Sept. 20. *ἐθρέψατο, ὅπως γένοισθε πρὸς χρέος τόδε.* Eum. 288. *ἔλθοι, — ὅπως γένοιτο τῶνδέ μοι λυτήριος.* Eum. 640. *καὶ τόνδ' ἔπεμψα —, ὅπως γένοιτο πιστός.* Pers. 442. *ἐνταῦθα πέμπει τούσδ', ὅπως — κτείνοιεν.* — cum indicativo praeteriti. Prom. 751. *τί δῆτ' ἐμοὶ ζῆν κέρδος ἀλλ' οὐκ ἐν τάχει ἔρριψ' ἐμαυτὴν —, ὅπως πέδῳ σκήψασα τῶν πάντων πόνων ἀπηλλάγην;* Choeph. 194. *εἴθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην, ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην.* — *ὅπως ἂν* cum coniunctivo. Prom. 826. *ὅπως δ' ἂν εἰδῇ μὴ μάτην κλύουσά μου, — φράσω.* Choeph. 573. *φύλασσε τἀν οἴκῳ καλῶς, ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε.* Eum. 543. *σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμούς, — ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.* Eum. 984. *τὸ φέγγος ὁρμάσθω πυρός, ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία — πρέπῃ.* Suppl. 230. *σκοπεῖτε κἀμείβεσθε τόνδε τὸν τόπον, ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.* Ag. 355. *τείνοντα πάλαι τόξον, ὅπως ἂν — βέλος ἠλίθιον σκήψειεν.*

Ὁρᾶν videre. Prom. 307. *ὁρῶ, Προμηθεῦ.* Pers. 978. *ὁρῶ, ὁρῶ.* Prom. 677. *ὡς ὁρᾶτε.* Pers. 184. *ὡς ἐγὼ 'δόκουν ὁρᾶν.* Ag. 1579. *ὡς ὁρᾷς.* Choeph. 400. *ἴδετε πολυκρατεῖς Ἀραὶ φθιμένων.* Eum. 245. *ὅρα ὅρα μάλ' αὖ.* Suppl. 205. *Ζεὺς δὲ γεννήτωρ ἴδοι.* Suppl. 207. *ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος.* Choeph. 911. *ὅρα.* — Ag. 1606. *οὐχ ὁρᾷς ὁρῶν τάδε.* Choeph. 283. *ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.* — Ag. 1327. *ὁρᾶν πάρεστιν.* Ag. 402. *πάρεστι σιγὰς ἀτίμους — ἰδεῖν.* Pers. 411. *θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν.* Choeph. 419. *πολυπλάνητα δ' ἦν ἰδεῖν — ὀρέγματα.* Suppl. 701. *πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοισι γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν.* — Sept. 957. *δειλαῖ δ' ὁρᾶν.* Sept. 974. 983. *ὀλοὰ δ' ὁρᾶν.* Pers. 379. *εὐφεγγὴς ἰδεῖν.* Pers. 390. *πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.* Prom. 238. *πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν.* Sept. 626. *ἄνδρα τευχηστὴν ἰδεῖν.* Pers. 27. *φοβεροὶ μὲν ἰδεῖν.* Pers. 206. *ταῦτ' ἐμοί γε δείματ' ἔστ' ἰδεῖν.* Ag. 340. *μὴ διχορρόπως ἰδεῖν.* Choeph. 142. *ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.* Choeph. 174. *προσφερὴς ἰδεῖν.* Choeph. 775. *σώφροσιν εὖ μαιομένοις ἰδεῖν.* Eum. 51. *ἄπτεροί γε μὴν ἰδεῖν αὗται.* — Prom. 259. *οὐχ ὁρᾷς, ὅτι ἥμαρτες;* Prom. 323. *ὁρῶν ὅτι τραχὺς μόναρχος — κρατεῖ.* Prom. 953. *ὁρᾷς δ' ὅτι Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.* Pers. 712. *ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.* Eum. 622. *πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα.* Prom. 999. *ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.* Eum. 259. *ὄψει δὲ κεἴ τις ἄλλος ἤλιτεν βροτῶν.* Eum. 137. *ἰδώ-*

μεθ' εἴ τι τοῦδε φροιμίου μακρᾷ. — Prom. 69. ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν. Sept. 106. ἴδετε παρθένων ἱκέσιον λόχον. Sept. 536. χεὶρ δ' ὁρᾷ τὸ δράσιμον. Sept. 864. πικρὰς μοναρχίας ἰδόντες. Prom. 149. ὁρᾶτε δεσμώτην με. Prom. 615. πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα. Prom. 352. Κιλικίων οἰκήτορα ἄντρων ἰδών. Prom. 760. τήνδ' ἰδοῦσα συμφοράν. Pers. 194. τὸν δ' ὅπως ὁρᾷ Ξέρξης. Pers. 213. εἴ τι φλαῦρον εἶδες. Pers. 217. ὄνπερ φῂς ἰδεῖν. Pers. 534. ἀνδρῶν ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν. Pers. 698. πρὶν κακῶν ἰδεῖν βάθος. Pers. 457. κακῶν ὁρᾶν βάθος. Pers. 809. τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια. Pers. 977. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς. Ag. 121. ἰδὼν δύο λήμασι δισσούς. Ag. 239. τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω. Ag. 411. ἐσθλά τις δοκῶν ὁρᾶν. Ag. 479. κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ. Ag. 669. ὄντιν' οὐχ ὁρῶμεν. Ag. 868. ἀμφί σοι πάθη ὁρῶσα πλείω. Ag. 1190. ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους; Ag. 1593. ἰδόντα τόνδε τῆς Δίκης ἐν ἕρκεσιν. Choeph. 166. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ. Choeph. 185. πλόκαμον ἰδούσῃ τόνδε. Choeph. 223. αὐτόν με νῦν ὁρῶσα δυσμαθεῖς ἐμέ. Choeph. 224. κουρὰν δ' ἰδοῦσα τήνδε. Choeph. 227. κἀδόκεις ὁρᾶν ἐμέ. Choeph. 251. οὕτω δὲ κἀμὲ τήνδε τε — ἰδεῖν πάρεστί σοι. Choeph. 787. τοῦτ' ἰδεῖν δάπεδον. Choeph. 797. καί νιν ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν. Choeph. 838. ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον. Choeph. 955. 966. πάρα τὸ φῶς ἰδεῖν. Choeph. 964. τὸ πᾶν ἰδεῖν θρεομένοις. Choeph. 978. ὡς ἴδῃ πατὴρ, — ἄναγνα μητρὸς ἔργα. Choeph. 1057. ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ' ἐγὼ δ' ὁρῶ. Eum. 57. τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας. Eum. 103. ὁρᾷ δὲ πληγὰς τάσδε καρδίᾳ σέθεν. Eum. 384. ὁρῶσα τήνδ' ὁμιλίαν χθονός. Eum. 513. κέρδος ἰδών. Eum. 531. τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις δύαις λέπαδνον. Eum. 715. ἆρ' ὁρᾷς τάδε; Eum. Eum. 731. μητρὸς τάσδε συνδίκους ὁρῶν; Eum. 945. μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις. Suppl. 73. κλύετ' εὖ τὸ δίκαιον ἰδόντες. Suppl. 177. ὁρῶ κόνιν. Suppl. 215. ὁρῶ τρίαιναν τήνδε. Suppl. 299. τὸν πάνθ' ὁρῶντα φύλακα. Suppl. 324. πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν. Suppl. 345. ἴδε με τὰν ἱκέτιν. Suppl. 349. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον νέον θ' ὅμιλον. Suppl. 478. ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ. Suppl. 694. ὁρῶ τὸ πλοῖον. Suppl. 810. ὁρῶ τάδε φροίμια. Suppl. 834. μήποτε πάλιν ἴδοιμ' ἀλφεσίβοιον ὕδωρ. Suppl. 793. βίαια μὴ φίλοις ὁρῶν ὄμμασιν ἐνδίκοις. Myrm. 116. ἰδόντα μηχανὴν πτερώματος. Fragm. 271. ὁρᾷς Δίκην ἄναυδον, οὐχ ὁρωμένην. Fragm. 376. οὐδ' ἄποθεν εἶδες αὐτόν; οὐ γὰρ ἐγγύθεν ὁρᾷς. Orith. 267. εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόλον. Prom. 22. οὔτε του μορφὴν βροτῶν ὄψει. Suppl. 888. πολλοὺς ἄνακτας — ὄψεσθε. Pers. 175. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην. Suppl. 354. ἴδοιτο δῆτ' ἄνατον

φυγάν. Choeph. 401. ἴδεσθ' Ἀτρειδᾶν τὰ λοιπά. Choeph. 967. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα. Choeph. 974. ἴδεσθε δ' αὖτε — τὸ μηχάνημα. Choeph. 229. ἰδοῦ δ' ὕφασμα τοῦτο. Choeph. 245. ἰδοῦ δὲ γέννᾳν εὖνιν αἰετοῦ πατρός. Sept. 403. τρέμω δ' αἱματηφόρους μόρους — ἰδέσθαι. — Prom. 70. ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων. Prom. 382. τίνα ὁρᾷς ἐνοῦσαν ζημίαν; Prom. 436. ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον. Prom. 975. χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι. Pers. 201. ὁρῶ δὲ φεύγοντ' αἰετόν. Sept. 496. κοὔπω τις εἶδε Ζῆνά που νικώμενον. Ag. 645. ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς. Ag. 1260. εἶδον Ἰλίου πόλιν πράξασαν ὡς ἔπραξεν. Ag. 1563. ἰδὼν — τὸν ἄνδρα τόνδε κείμενον. Ag. 1585. πεσόντα τόνδ' ἰδεῖν πάρα. Choeph. 265. οὐ ἴδοιμ' ἐγώ ποτε θανόντας. Choeph. 494. ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ. Choeph. 720. τροφον δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην. Eum. 40. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα. Eum. 50. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας. Eum. 67. καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾷς. Eum. 110. καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα. Suppl. 418. μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων ῥυσιασθεῖσαν. Prom. sol. 182, 6. ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ. Prom. 898. μήποτέ μ', ὦ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν. — Prom. 908. τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπᾳ φύγοιμ' ἄν. Choeph. 1030. καὶ νῦν ὁρᾶτέ μ' ὡς παρεσκευασμένος — προσίξομαι. Prom. 92. ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός. — Suppl. 706. πρὸς πρᾶγμ' ὁρῶσας. Suppl. 97. ἰδέσθω δ' ἐς ὕβριν βρότειον. — Ag. 1096. ἰδοὺ ἰδού. Ag. 1242. ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμέ. Sisyph. 207. ἰδοὺ σταθμοῦχος ἐγκατιλλοφῶν. — Choeph. 291. οὐχ ὁρωμένην πατρὸς μῆνιν. Fragm. 271. Δίκην ἄναυδον οὐχ ὁρωμένην. Eum. 389. οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμέναις. Prom. 1000. ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε. (ὁρῶ Prom. 70. 307. 908. Pers. 201. 978. Ag. 479. Choeph. 166. 720. 1057. Eum. 40. 110. 945. Suppl. 177. 215. 349. 694. 810. ὁρᾷς Prom. 69. 259. 382. 615. 953. Pers. 977. Ag. 1579. 1606. Eum. 67. 715. Fragm. 271. ὁρᾷ Sept. 536. Pers. 194. Eum. 103. ὁρῶμεν Ag. 645. 669. ὁρᾶτε Prom. 119. 677. Ag. 1190. Choeph. 1030. 1057. ὅρα Prom. 999. Choeph. 911. Eum. 245. 622. ὁρᾶν Sept. 957. 974. 983. Pers. 184. Ag. 411. 1377. Choeph. 227. ὁρῶν Prom. 323. 436. Pers. 457. Ag. 1606. Eum. 731. Suppl. 793. ὁρῶντα Choeph. 283. Suppl. 299. ὁρῶντες Pers. 809. ὁρῶσα Ag. 868. Choeph. 223. Eum. 384. ὁρῶσας Suppl. 706. εἶδον Ag. 239. 1260. Eum. 50. εἶδες Pers. 213. Fragm. 376. εἶδε Sept. 496. ἴδῃς Suppl. 418. ἴδῃ Choeph. 978. ἴδωσι Suppl. 478. ἴδοιμι Prom. 975. Choeph. 265. Suppl. 834. ἴδοις Suppl. 324. ἴδοι Suppl. 203. ἴδε Suppl. 345. ἴδετε Sept. 106.

Choeph. 400. ἰδεῖν Prom. 238. Sept. 626. Pers. 27. 206. 217. 379. 390. 411. 584. 698. 712. Ag. 340. 402. 1585. Choeph. 142. 174. 251. 419. 775. 787. 797. 838. 955. 964. 966. Eum. 51. Suppl. 701. ἰδὼν Prom. 352. Ag. 121. 1568. Choeph. 494. Eum. 513. 531. Prom. sol. 182. ἰδόντα Ag. 1593. Myrm. 116. ἰδόντες Sept. 864. Suppl. 73. ἰδοῦσα Prom. 760. Choeph. 224. ἰδοίσῃ Choeph. 89. ὄπωπα Eum. 57. ὄψομαι Orith. 267. ὄψει Prom. 22. Eum. 259. ὄψεσθε Suppl. 888. εἰδόμην Pers. 175. ἰδώμεθα Eum. 137. ἴδοιτο Suppl. 267. 354. ἴδοισθε Prom. 898. ἰδοῦ Choeph. 229. 245. ἰδέσθαι Suppl. 97. ἴδεσθε Prom. 92. Choeph. 401. 967. 974. ἰδέσθαι Sept. 403. ἰδοὺ Ag. 1196. 1242. Sisyph. 207. ὁρωμένην Choeph. 291. Fragm. 271. ὁρωμέναις Eum. 389. ὤπται Prom. 1000.)

Ὄργανον *instrumentum musicum.* Edon. 51.

Ὀργεὼν *sacerdos.* Mys. 131. ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών.

Ὀργὴ *animi affectio.* Prom. 80. ὀργῆς τε τραχύτητα. Prom. 378. ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι. cf. Fagm. 280. — *cupiditas.* Suppl. 744. κνωδάλων ἔχοντες ὀργάς. — *ira.* Prom. 190. τὴν δ' ἀτέραμνον στορέσας ὀργήν. Prom. 315. ἃς ἔχεις ὀργὰς ἄφες. Prom. 681. ἄκρατος ὀργὴν Ἄργος. Sept. 660. ὀργὴν ὅμοιος τῷ κάκιστ' αὐδωμένῳ. Ag. 71. ἀπύρων ἱερῶν ὀργὰς ἀτενεῖς παραθέλξει. Ag. 208. παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις. Choeph. 323. φαίνει δ' ὕστερον ὀργάς. Choeph. 447. τὰ δ' αὐτὸς ὀργᾷ μαθεῖν. Choeph. 822. τοῖς τ' ἄνωθεν προπράσσων χάριτος ὀργὰς λυπράς. Eum. 810. ὀργὰς ξυνοίσω σοί. Eum. 897. μέγα φωνοῦντ' ἐχθραῖς ὀργαῖς ἀμαθύνει. Eum. 936. δι' ὀργάν. Suppl. 184. ὠμῇ ξὺν ὀργῇ.

Ὄργιον *sacrum.* Sept. 162. φιλοθύτων δέ τοι πόλεος ὀργίων μνήστορες ἔστε μοι.

Ὀρέγεσθαι *porrigere.* Ag. 1082. προτείνει δὲ χεῖρ' ἐκ χειρὸς ὀρεγομένα.

Ὄρεγμα *porrectio.* Choeph. 420. πολυπλάνητα δ' ἦν ἰδεῖν ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα. — *spatium extensum.* Choeph. 788. τοῦτ' ἰδεῖν δάπεδον, ἀνομένων πημάτων ὄρεγμα.

Ὄρειος *montanus.* Ag. 483. φλόγα ὕλης ὀρείας.

Ὀρείκοος *monticola.* Sept. 514. μητρὸς ἐξ ὀρεικόου.

Ὀρέστης *Orestes.* Ag. 853. 1631. 1652. Choeph. 113. 129. 134. 136. 175. 192. 215. 222. 671. 685. 710. 720. 738. 751. 765. 828. 854. 921. Eum. 120. 212. 593. 705. 711. 766.

Ὀρθιάζειν *clamare.* Pers. 673. ψυχαγωγοῖς ὀρθιάζοντες γόοις.

Ὄρθιος *arrectus.* Sept. 546. τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται. — *alta voce editus et ad incitandum aptus.* Pers. 381. ὄρθιον δ' ἅμα ἀντηλάλαξε — ἠχώ. Ag. 1124. ὀρθίοις ἐν νόμοις. Choeph. 740. νυκτίπλαγκτον ὀρθίων κελευμάτων.

Ὀρθόβουλος *recte consulens.* Prom.

18. τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ.

'Ορθοδαής peritus. Ag. 993. τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν.

'Ορθοδίκαιος iustus. Ag. 948. πόλιν ὀρθοδίκαιον.

'Ορθόθριξ capillos erigens. Choeph. 32. φόβος ὀρθόθριξ.

'Ορθομάντεια vaticinatio verax. Ag. 1188. δεινὸς ὀρθομαντείας πόνος.

'Ορθονόμος iusta tribuens. Eum. 921. δαίμονες ὀρθονόμοι.

'Ορθός erectus. Eum. 284. τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα. Choeph. 489. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα; Fragm. 379. 'Αργεὺς δ' 'Απόλλων ὀρθὸν ἰθύνοι βέλος. — rectus, iustus. Eum. 308. μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν παραγινόμεναι.

'Ορθοστάδην stando. Prom. 32. ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ.

'Ορθοῦν erigere. Sept. 211. πολλάκι δ' ἐν κακοῖσιν τὸν ἀμήχανον — ὀρθοῖ. Eum. 721. οἶκον ψῆφος ὤρθωσεν μία. — regere. Suppl. 658. ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ. — statuere. Choeph. 577. ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι. Eum. 857. τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν. — corrigere, recte ponere. Ag. 1454. νῦν δ' ὤρθωσας στόματος γνώμην. Suppl. 893. οὐδὲν ὤρθωσας φρενί. — ὀρθοῦσθαι surgere. Eum. 678. ὀρθοῦσθαι δὲ χρή. — corrigi. Choeph. 762. ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος. — recte agi. Eum. 742. ὀρθουμένων δέ.

'Ορθώνυμος nomini recte respondens. Ag. 683. 'Ιλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων μῆνις ἤλασε.

'Ορθῶς recte. Prom. 1002. ὀρθῶς φρονεῖν. Sept. 387. γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον. Sept. 811. οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν καὶ πολυνεικεῖς ὤλοντο. Sept. 855. δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς μ' ἐλιγαίνειν. Choeph. 519. ὥστ' ὀρθῶς φράσαι. Eum. 554. γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος. Eum. 627. μάθ' ὡς ὀρθῶς ἐρῶ. Eum. 718. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων.

'Ορίζειν dividere. Suppl. 541. διχῆ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει. — destinare. Choeph. 914. πατρὸς γὰρ αἶσα τόνδε σουρίζει μόρον. — ὁρίζεσθαι sibi vindicare. Suppl. 253. ὁρίζομαι δὲ τήνδε Περραιβῶν χθόνα. — sibi constituere. Suppl. 389. ὕπαστρον δέ τοι μῆχαρ ὁρίζομαι γάμου δύσφρονος φυγᾷ.

'Ορκάνη opus urbem obsessam circumvallans. Sept. 328. ὀρκάνα πυργῶτις.

"Ορκιον iusiurandum. Ag. 1406. καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν. Eum. 461. φόνων δικαστὰς ὁρκίων αἱρουμένους l. d.

"Ορκος iusiurandum. Ag. 1171. καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγέν, παιώνιον γένοιτο; Ag. 1257. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας. Ag. 1551. ὅρκους θεμένη. Choeph. 971. ὅρκος τ' ἐμμένει πιστώμασιν. Eum. 209. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη ὅρκου 'στὶ μείζων. Eum. 407. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν. Eum. 410. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω. Prom. 591. ὅρ-

κος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον. Eum. 650. ὅρκον αἰδεῖσθε. Eum. 680. αἰδουμένοις τὸν ὅρκον. Fragm. 281. οὐκ ἀνδρὸς ὅρκοι πίστις ἀλλ' ὅρκων ἀνήρ. Fragm. 282. ὅρκος βέβαιός ἐστιν. Eum. 467. ὅρκον περῶντας l. d.

Ὅρκωμα *iusiurandum.* Eum. 464. ἀρωγὰ τῆς δίκης θ' ὁρκώματα. Eum. 738. τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα.

Ὁρκωμοτεῖν *iurare.* Sept. 46. Ἄρην, Ἐνυὼ καὶ φιλαίματον Φόβον ὡρκωμότησαν. Eum. 734. χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ — ὁρκωμοτήσας.

Ὁρμαίνειν *agitare.* Ag. 1361. τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών. — *morae impatientem, abeundi cupidum esse.* Sept. 376. βοὴν σάλπιγγος ὁρμαίνει μένων.

Ὁρμᾶν *ferri.* Pers. 386. ἐς μάχην ὁρμῶντες. — ὁρμᾶσθαι *ferri, celeriter incedere, accedere, discedere.* Prom. 337. ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς. Prom. 393. ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον. Sept. 31. ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων ὁρμᾶσθε πάντες. Pers. 147. ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται μήτηρ βασιλέως. Pers. 495. ὅστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ ἀκτῖνας, ὡρμήθη. Eum. 93. τόδ' ἐκ νόμων σέβας, ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ. Eum. 983. τὸ φέγγος ὁρμάσθω πυρός. Choeph. 929. θεόθεν εὖ φραδαῖσιν ὡρμημένος. (Fragm. 415. κεζικὸς ὥρμηται λεώς.)

Ὁρμεῖν *iacere.* Choeph. 522. ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην.

Ὅρμος *portus.* Ag. 651. ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν. Suppl. 746. οὐδ' ὅρμος οὐδὲ πεισμάτων σωτηρία. Suppl. 753. πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι.

Ὅρμος *monile.* Choeph. 608. χρυσεοδμήτοισιν ὅρμοις.

Ὄρνις *avis.* Sept. 26. χρηστηρίους ὄρνιθας. Ag. 112. θούριος ὄρνις. Ag. 152. μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων. Ag. 383. διώκει παῖς ποτανὸν ὄρνιν. Ag. 1289. οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις. Suppl. 209. καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε. Suppl. 223. ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών; Suppl. 782. ἐπιχωρίοις ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν. Fragm. 300. τραχὺν πετραῖον ὄρνιν. — Eum. 828. ἐνοικίον δ' ὄρνιθος οὐ λέγω μάχην. — *augurium.* Cabir. 83. ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ. — *fatum.* Sept. 579. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.

Ὀρνύναι *incitare.* Pers. 488. νυκτὶ δ' ἐν ταύτῃ θεὸς χειμῶν' ἄωρον ὦρσε. — ὄρνυσθαι *incedere, ingruere.* Sept. 88. ὁ λεύκασπις ὄρνυται λαός. Sept. 401. πόλεως πρόμαχος ὄρνυται. Sept. 87. ὀρόμενον κακὸν ἀλεύσατε. Sept. 110. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον. Ag. 960. εὖτ' ὑπ' Ἴλιον ὦρτο ναυβάτας στρατός. Ag. 1382. κακὸν — ῥυτᾶς ἐξ ἁλὸς ὀρόμενον. Suppl. 417. τὰν ἕκαθεν ἐκβολαῖς δυσθέοις ὀρμέναν. — Ag. 639. ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά.

Ὀροθύνεσθαι *moveri.* Prom. 200.

στάσει τ' ἐν ἀλλήλοισιν ὠρθώνετο.

Ὄρον *prelum.* Cercyon. 93.

Ὄρος *mons.* Ag. 294. ὄρος τ' ἐπ' Αἰγίπλαγκτον. Suppl. 255. ὄρη τε Δωδωναῖα. Suppl. 546. δι' ὀρῶν Κιλίκων. Fragm. 450. δυσχιμῶν ὀρῶν ἄναξ. Prom. 721. ὀρῶν ὕψιστον. Prom. 813. Βυβλίνων ὀρῶν ἄπο. Pers. 486. Παγγαῖόν τ' ὄρος.

Ὅρος *finis.* Prom. 669. γῆς ἐπ' ἐσχάτοις ὅροις. Prom. 792. ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον. Eum. 901. τὸ μὴ περᾶν ὅρον τόπων. —, sensu translato. Ag. 472. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται. Ag. 1125. πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ;

Ὀροτύπος *montem feriens.* Sept. 85. δίκαν ὕδατος ὀροτύπου.

Ὀρούειν *salire, currere.* Ag. 800. πήδημ' ὀρούσας. Eum. 113. κούφως ἐκ μέσων ἀρκυσμάτων ὤρουσεν.

Ὄροφος *tectum.* Suppl. 638. ὃν τίς ἂν δόμος ἔχοι ἐπ' ὀρόφων μιαίνοντα;

Ὀρόχθειος *clivosus.* Niob. 143. πᾶν ὀρόχθειον πέδον.

Ὀρσολοπεῖσθαι *vexari.* Pers. 10. ὀρσολοπεῖται θυμὸς ἔσωθεν.

Ὀρταλίχος *pullus.* Ag. 54. δεμνιοτήρη πόνον ὀρταλίχων ὀλέσαντες.

Ὀρφεύς *Orpheus.* Ag. 1612. Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.

Ὀρφναῖος *per tenebras lucens.* Ag. 21. εὐαγγέλου φανέντος ὀρφναίου πυρός.

Ὄρχαμος *dux.* Pers. 127. σὺν ὀρχάμῳ στρατοῦ.

Ὀρχεῖσθαι *palpitare.* Choeph. 165. ὀρχεῖται δὲ καρδία φόβῳ.

Ὀρχησμός *tripudium.* Eum. 354. ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδός.

Ὅς *qui.* Prom. 4. ἐπιστολάς, ἅς σοι πατὴρ ἐφεῖτο. Prom. 31. ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν. Prom. 110. πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης — πέφηνε. Prom. 226. ὃ δ' οὖν ἐρωτᾶτε, — τοῦτο δὴ σαφηνιῶ. Prom. 254. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας. Prom. 315. ἃς ἔχεις ὀργὰς ἄφες. Prom. 348. Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους ἕστηκε. Prom. 354. Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς. Prom. 359. κεραυνὸς —, ὅς αὐτὸν ἐξέπληξε. Prom. 419. ὑψίκρημνόν θ' οἳ πόλισμα — νέμονται. Prom. 426. Ἄτλανθ', ὃς αἰὲν — ὑποστενάζει. Prom. 481. κράσεις —, αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους. Prom. 483. κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι. Prom. 548. ὀλιγοδρανίην —, ᾇ τὸ φωτῶν ἀλαὸν γένος ἐμπεποδισμένον. Prom. 570. ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει. Prom. 592. κόρης τῆς Ἰναχείης, ἣ Διὸς θάλπει κέαρ. Prom. 599. νόσον —, ἃ μαραίνει με. Prom. 671. κεραυνόν, ὃς πᾶν ἐξαϊστώσει γένος. Prom. 711. Σκύθας —, οἳ πλεκτὰς στέγας πεδάρσιοι ναίουσι. Prom. 714. οἷς μὴ πελάζειν. Prom. 717. Χάλυβες, οὓς φυλάξασθαί σε χρή. Prom. 720. ποταμὸν —, ὃν μὴ περάσῃς. Prom. 726. Ἀμαζόνων —, αἳ Θεμίσκυράν ποτε κατοικιοῦσιν. Prom. 732. ἰσθμὸν —, ὃν θρασυσπλάγχνως σε χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν. Prom. 742. οὓς γὰρ νῦν ἀκηκόας λόγους.

Prom. 766. γάμον —, ᾧ ποτ' ἀσχαλᾷ. Prom. 791. πλάνην φράσω, ἣν ἐγγράφου σύ. Prom. 798. Φορκίδες —, ἃς οὔθ' ἥλιος προσδέρκεται. Prom. 802. Γοργόνες —, ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς. Prom. 827. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκε φράσω. Pers. 835. αἱ προσήγοροι δρύες, ὑφ' ὧν — προσηγορεύθης. Prom. 840. κόλπον Ῥέας, ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις. Prom. 853. Ἔπαφον, ὃς καρπώσεται. Prom. 874. τόξοισι κλεινὸς, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ λύσει. Prom. 890. ἦ σοφὸς, ὃς πρῶτος τόδ' ἐβάστασε. Prom. 911. γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος — ἐκβαλεῖ. Prom. 914. ἀρὰ —, ἣν ἐκπιτνῶν ἠρᾶτο. Prom. 924. παλαιστὴν —, ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα. Prom. 930. ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ. Prom. 931. ἃ βούλομαι λέγω. Prom. 950. γάμους —, πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους. Sept. 5. ὃ μὴ γένοιτο. Sept. 8. οἰμώγμασιν θ', ὧν Ζεὺς ἀλεξητήριος ἐπώνυμος γένοιτο. Sept. 103. πόλιν, ἂν ποτ' εὐφιλήταν ἔθου. Sept. 383. νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος — κυρεῖν. Sept. 394. ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο. Sept. 408. ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη. Sept. 434. ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται. Sept. 457. Μεγαρεὺς —, ὃς — ἐκ πυλῶν χωρήσεται. Sept. 511. ὄμνυσι δ' αἰχμὴν, ἣν ἔχει. Sept. 531. πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός. Sept. 535. τῷδ' ὃν λέγεις τὸν Ἀρκάδα. Sept. 538. Ἄκτωρ —, ὃς οὐκ ἐάσει. Sept. 576. βαθεῖαν ἄλοκα —, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. Sept. 578. δεινὸς ὃς θεοὺς σέβει. Sept. 695. λέγοιτ' ἂν ὧν ἄνη τις. Sept. 742. ἄλλο δ' ἀείρει τρίχαλον, ὃ καὶ περὶ πρύμναν πόλεως καχλάζει. Sept. 805. δαίμονες, οἳ δὴ Κάδμου πύργους τούσδε ῥύεσθε. Sept. 811. πολεμάρχους, οἳ δῆτα — ὤλοντο. Sept. 838. πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται. Sept. 902. ἐκ φρενὸς ἃ — μινύθει. Sept. 938. ἐν πύλαις, ἐν αἷς ἐθείνοντο. Sept. 1009. θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε —. Sept. 1022. τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν. Sept. 1037. ἀλλ' ὃν πόλις στυγεῖ σὺ τιμήσεις τάφῳ; Pers. 5. φύλακες, οὓς αὐτὸς ἄναξ — εἵλετο. Pers. 61. ἀνδρῶν, οὓς πέρι πᾶσα χθὼν — στένεται. Pers. 160. ὄλβον, ὃν Δαρεῖος ἦρεν. Pers. 200. δαίμοσι —, ὧν τέλη τάδε. Pers. 440. νῆσος —, ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει. Pers. 467. κοὐκ ἀπήρκεσαν, οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν. Pers. 468. ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν. Pers. 470. ναῶν αἳ πεφεύγασιν μόρον. Pers. 506. κακῶν, ἃ Πέρσαις ἐγκατέσκηψεν θεός. Pers. 763. ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος. Pers. 771. ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν. Pers. 834. ἀτιμίαν —, ἥ νιν ἀμπέχει. Pers. 852. πόλεις —, αἳ — τοῦδ' ἄνακτος ἄϊον. Pers. 885. ἀνδρῶν, οὓς νῦν δαίμων ἀπέκειρεν. Ag. 2. φρουρᾶς —, ἣν κοιμώμενος — κάτοιδα. Ag. 100. μερίμνης, ἣ νῦν ποτὲ μὲν κακόφρων τελέθει. Ag. 165. ὃς δ' ἔπειτ' ἔφυ, τρια-

κτῆρος οἴχεται τυχών. Ag. 333. ποθεῖν ἃ μὴ χρή. Ag. 690. ὑμέναιον, ὃς τότ' ἐπέῤῥεπεν γαμβροῖσιν ἀείδειν. Ag. 882. δμωαὶ —, αἷς ἐπέσταλται. Ag. 1195. σπλάγχνα —, ὧν πατὴρ ἐγεύσατο. Ag. 1261. οἵ δ' εἷχον πόλιν, οὕτως ἀπαλλάσσουσιν. Ag. 1389. ἀνδρὶ τῷδε —, ὅς — ἔθυσεν αὐτοῦ παῖδα. Ag. 1408. Ἄτην Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ. Ag. 1447. δαῖμον, ὃς ἐμπιτνεῖς. Ag. 1552. ὃ δὲ λοιπόν. Choeph. 125. γαῖαν αὐτὴν, ἣ τὰ πάντα τίκτεται. Choeph. 171. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί. Choeph. 265. πρὸς τοὺς κρατοῦντας, οὓς ἴδοιμ' ἐγώ ποτε θανόντας. Choeph. 484. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης. Choeph. 485. μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν. Choeph. 662. ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν. Choeph. 712. ἀκτὴ —, ἣ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖσαι. Choeph. 739. Ὀρέστην —, ὃν ἐξέθρεψα. Choeph. 789. οἵ τ' ἔσωθε δωμάτων πλουτογαθῆ μυχὸν νομίζετε, κλύετε σύμφρονες θεοί. Choeph. 884. μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων — ἐξήμελξας. Choeph. 894. ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς. Choeph. 918. κάνες γ' ὃν οὐ χρῆν. Choeph. 934. ἔμολε δ' ᾳ μέλει κρυπταδίου μάχας δολιόφρων ποινά. Choeph. 986. ἀνδρὶ —, ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος. Eum. 3. Θέμιν, η δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο μαντεῖον. Eum. 69. παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται θεῶν τις. Eum. 175. ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου. Eum. 311. μᾶτερ ἅ μ' ἔτικτες. Eum. 377. γῆν —, ἣν δῆτ' Ἀχαιῶν ἄκτορες — ἔνειμαν. Eum. 435. Ἀγαμέμνονα —, ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν ἔθηκας. Eum. 575. φωτὸς, ὃν κατέκτανεν. Eum. 649. ἠκούσαθ' ὧν ἠκούσατε. Eum. 706. μήτηρ γάρ οὔτις ἔστιν ἥ μ' ἐγείνατο. Eum. 730. σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον σώζει με. Eum. 827. πόλεμος —, ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως. Eum. 859. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ; Suppl. 23. ὧν πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ, ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι. Suppl. 37. λέκτρων, ὧν θέμις εἴργει. Suppl. 251. πᾶσαν αἱ , ἧς δι' Ἄλγος ἔρχεται. Suppl. 290. Ἰὼ —, ἣν ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ —. Suppl. 346. δάμαλιν, ἃν πέτραις — μέμυκε. Suppl. 378. βροτῶν, οἳ — δίκας οὐ τυγχάνουσιν ἐννόμου. Suppl. 411. ἀλάστορα, ὃς οὐδ' ἐν ᾄδου τὸν θανόντ' ἐλευθεροῖ. Suppl. 531. Ἰοῦς, δι' ἃς τοι γένος εὐχόμεθ' εἶναι. Suppl. 560. βροτοὶ δ', οἳ γᾶς τότ' ἦσαν ἔννομοι. Suppl. 637. σκοπὸν δυσπολέμητον, ὃν τίς ἂν δόμος ἔχοι; Suppl. 658. Ζῆνα —, ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ. Suppl. 685. θεοὺς δ', οἳ γᾶν ἔχουσιν. Suppl. 774. θρόνος, πρὸς ὃν — γίνεται χιών. Suppl. 984. μὴ πάθωμεν, ὧν πολὺς πόνος — οὕνεκ' ἡρέθη. Suppl. 998. θεοὺς — οἷς χεῦμ' Ἐρασίνου περιναίεται. Suppl. 1006. ποταμοὺς δ', οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν. Arg. 15. ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος — ἔῤῥιψεν. Myrm. 115. μόχθους, οὓς προπέπωκας. Niob. 145. οἱ Ζηνὸς

ἐγγὺς, οἷς ἐν Ἰδαίῳ πάγῳ — βωμός ἐστι. Xantr. 159. ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται. Arm. iud. 162. τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο. Arm. iud. 164. βίοτον, ὃς λύπας φέρει. Prom. sol. 182. πέτρων —, οἷς ἔπειτα σὺ βαλὼν διώσεις. Prom. sol. 189. ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται. Semel. 205. Ζεὺς, ὃς κατέκτα τοῦτον. Philoct. 231. φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός. Fragm. 274. ἃ δεῖ παρὼν φρόντιζε. Fragm. 300. ὄρνιν —, ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερόν. Fragm. 321. τῆς αὐτῆς ὑὸς, ἣ πολλά γ' ἐν δόμοισιν εἴργασται κακά. Fragm. 341. ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους. — causam et explicationem continens. Prom. 445. οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην. Prom. 935. τί δ' ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον; Sept. 860. μέλεοι δῆθ', οἳ μελέους θανάτους εὕροντο. Pers. 795. οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν. Ag. 1617. ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον, δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως. Phryg. 244. οἷς μήτε χαίρειν μήτε λυπεῖσθαι πάρα. cf. Ὅστις. — in interrogatione indirecta. Prom. 917. ἐγὼ τάδ' οἶδα χᾦ τρόπῳ. Prom. 998. ὥστε καὶ φράσαι, πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος. Ag. 422. οὓς μὲν γάρ τις ἔπεμψεν οἶδεν. Ag. 1065. μαστεύειν δ' ὧν ἀνευρήσει φόνον. cf. Ὅστις. — ad sensum constructum, ut cum numero substantivi non consentiat. Prom. 415. Σκύθης ὅμιλος, οἳ γᾶς ἔσχατον τόπον ἔχουσι. Prom. 807. στρατὸν Ἀριμασπὸν —, οἳ χρυσόῤῥυτον οἰκοῦσιν ἀμφὶ νᾶμα. Prom. 810. κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου ναίουσι πηγαῖς. — Eum. 792. δωμάτων —, ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος. — cum attractione. Prom. 444. ὧν δέδοικ' εὔνοιαν ἐξηγούμενος. Prom. 965. οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ. Prom. 986. οὐδὲν ὧν χρῄζει πατήρ. Sept. 532. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι. Pers. 334. χιλιὰς μὲν ἦν ὧν ἦγε πλῆθος. Ag. 322. πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις. Ag. 786. δικαίων θ' ὧν ἐπραξάμην πόλιν Πριάμου. Choeph. 730. φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι. Eum. 544. ὧν ἔχεις αὐτὸς κράτει. (Cf. Sept. 291. εὐτρεφέστατον πωμάτων ὅσων ἵησιν Ποσειδᾶν. Choeph. 217. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.) — Sept. 382, νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος — κυρεῖν, τάχ' ἂν γένοιτο μάντις ἡ 'νοίᾳ τινί. Sept. 535. τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα. Suppl. 1022. Πόθος ᾧ τ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ. — οὗ ubi. Prom. 816. οὗ δὴ τὴν μακρὰν ἀποικίαν, Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι. Pers. 478. οὗ Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ. Pers. 793. οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν. Eum. 177. οὗ καρανιστῆρες ὀφθαλμώρυχοι. cf. Ὅσπερ. — ᾗ qua ratione. Prom. 211. τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει. Choeph. 551. ᾗ καὶ Λοξίας ἐφήμισεν. cf. Ὅσπερ. — ᾗ quo. Choeph. 306. τῇδε τελευτᾶν, ᾗ τὸ δίκαιον μεταβαίνει. — ὃς cum coniunctivo. Sept. 239. ἄνδρες, ὧν ἀλῷ

πόλις. Sept. 800. ἕξουσι δ' ἣν λάβωσι ἐν ταφῇ χθονός. Eum. 588. οὐπώποτ' εἶπον —, ὃ μὴ κελεύσῃ Ζεύς. Eum. 631. ἡ δ' ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος, οἷς μὴ βλάψῃ θεός. (Add. Eum. 322. θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι. cf. Ὅστις.) — ὃς ἄν. Pers. 170. ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ. Ag. 1320. κοινωσώμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα. cf. Ὅσπερ. Ὅστε.

Ὅς suus. Sept. 623. ἐποπτῆρας λιτῶν τῶν ὧν. Eum. 345. ἀξιόμισον ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο.

Ὅσιος purus, sanctus. Sept. 1001. ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκεν. Eum. 372. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων. Ag. 754. ὁσία προσέβα. Suppl. 27. οἰκόφυλαξ ὁσίων ἀνδρῶν. Suppl. 399. νέμων εἰκότως ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις. Prom. 527. θεοὺς ὁσίαις θοίναις ποτινισσομένα.

Ὀσμή odor. Eum. 244. ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ. Cf. Ὀδμή.

Ὅσος quantus. Prom. 789. πᾶν ὅσον προσχρῄζετε. Prom. 854. ὅσην πλατύῤῥους Νεῖλος ἀρδεύει χθόνα. Prom. 929. μαθήσεται, ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα. Sept. 757. ὅσον τότ' Οἰδίπουν τίον. Pers. 163. ὅσον σθένος πάρα. Eum. 589. ὅσον σθένει. Eum. 819. τιμίαν ἕδραν —, ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν. — ὅσον cum superlativo. Prom. 522. ὅσον μάλιστα. Choeph. 761. Suppl. 860. ὅσον τάχιστα. — ὅσοι quam multi. Pers. 848. ὅσσας δ' εἷλε πόλεις. Eum. 275. ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ. — quotquot, quiqui. Prom. 978. τοὺς πάντας ἐχθαίρω θεοὺς, ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως. Sept. 291. εὐτρεφέστατον πωμάτων, ὅσων ἵησιν Ποσειδῶν ὁ γαιάοχος. Pers. 500. ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας. Ag. 362. ὅσοις ἀθίκτων χάρις πατοῖτο. Eum. 713. ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.

Ὅσοσπερ quantus. Ag. 834. τοσόνδ', ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ. — ὅσοιπερ quotquot. Pers. 415. πᾶσα ναῦς ἐρέσσετο, ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος. Pers. 433. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν.

Ὅσπερ qui. Prom. 628. μήτοι με κρύψῃς τοῦθ', ὅπερ μέλλω παθεῖν. Prom. 644. πᾶν, ὅπερ προσχρῄζετε, πεύσεσθε. Prom. 931. ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω. Prom. 964. κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν. Pers. 217. σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν. Pers. 602. φέρουσ' ἅπερ νεκροῖσι μειλικτήρια. Ag. 815. μόνος δ' Ὀδυσσεὺς, ὅσπερ οὐχ ἑκὼν ἔπλει. Ag. 827. θεοῖσι πρῶτα δεξιώσομαι, οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν. Ag. 1511. θανάτῳ τίσας ἅπερ ἦρξεν. Choeph. 132. Αἴγισθον ὅσπερ σοῦ φόνου μεταίτιος. Choeph. 648. κυρίοισι δωμάτων, πρὸς οὕσπερ ἥκω. Choeph. 687. ἥπερ ἐν δόμοισιν βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει. Eum. 609. ὡς δηχθῇ λεὼς, ὅσπερ τέτακται. Suppl. 942. ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται ψῆφος. Suppl. 1050. Ζεὺς —, ὅσπερ Ἰὼ πημο-

ναῦς ἐλύσατο. Fragm. 296. θάνατον —, ὅσπερ μέγ' ἐστ' ἴαμα. — Pers. 765. κἀγὼ πάλου δ' ἐκυρσα τοῦπερ ἤθελον. Pers. 963. βεβᾶσι γὰρ τοίπερ ἀγρόται στρατοῦ. Ag. 948. μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν. Choeph. 412. ἢ τάπερ πάθομεν ἄχεα; Choeph. 941. τάπερ ὁ Λοξίας ὁ Παρνάσσιος. Cf. Ὁ. — cum attractione. Ag. 948. μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν. Choeph. 213. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι. — ἀφ' οὗπερ ex quo. Pers. 173. ἀφ' οὗπερ παῖς ἐμὸς — Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων. — οὗπερ ubi. Sept. 1002. τέθνηκεν, οὗπερ τοῖς νέοις θνήσκειν καλόν. — ᾗπερ qua ratione. Choeph. 434. ἔπρασσε δ' ἅπερ νιν ὧδε θάπτει. — ἅπερ quemadmodum. Choeph. 375. τοῦτο διαμπερὲς οὖς ἵκετ' ἅπερ τε βέλος. Eum. 126. κλαγγαίνεις δ' ἅπερ κύων. Eum. 630. ἡ δ' ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος. — ὅσπερ ἄν. Choeph. 769. μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι. Ag. 948. μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

Ὄσσε oculi. Pers. 1021. διαίνου δ' ὄσσε. Prom. 398. ἀπ' ὄσσων. Prom. 144. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὁμίχλη προσῇξε. Prom. 682. πυκνοῖς ὄσσοις δεδορκώς. Ag. 456. βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνός.

Ὄσσος. Pers. 848. Vid. Ὄσος.

Ὅτε qui. Prom. 555. τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα τόδ' ἐκεῖνο θ', ὅτ' ἀμφὶ λουτρὰ καὶ λέχος σὸν ὑμεναίουν. Prom. 1073. μέμνησθ' ἅτ' ἐγὼ προλέγω. Sept. 127. Κύπρις, ἅτε γένους προμάτωρ. Sept. 483. Παλλάς, ἥτ' ἀγχίπτολις. Sept. 735. Οἰδιπόδαν, ὅστε μὴ πρὸς ἁγνὰν σπείρας ἄρουραν — ἔτλα. Sept. 1047. Ἐριννύες, αἵτ' Οἰδιπόδα γένος ὠλέσατε. Pers. 16. οἵτε τὸ Σούσων — ἕρκος προλιπόντες ἔβαν. Pers. 42. Λυδῶν ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος. Pers. 289. τίνα δὲ καὶ πενθήσομεν τῶν ἀρχελάων, ὅστ' ἐπὶ σκηπτουχίᾳ ταχθεὶς ἄναρχον τάξιν ἠρήμου θανών. Ag. 49. τρόπον αἰγυπιῶν, οἵτ' ἐκπατίοις ἄλγεσι παίδων — στροφοδινοῦνται. Ag. 348. μεγάλων κόσμων κτεάτειρα, ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον. Ag. 1093. σταγών, ἅτε γᾷ δορὶ πτώσιμος ξυνανύτει βίου δύντος αὐγαῖς. Choeph. 606. Σκύλλαν, ἅτ' ἐχθρῶν ὕπαι φῶτ' ἀπώλεσεν φίλον. Eum. 882. πόλιν —, ἅτ' ἐγὼ κατεύχομαι. Eum. 978. ξὺν προσπόλοισιν, οἵτε φρουροῦσιν βρέτας. Suppl. 48. Ἔπαφόν τ' ἐγέννασε, ὄντ' ἐπιλεξαμένα — ἐπιδείξω. Suppl. 61. ἀηδόνος, ἅτ' ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα πενθεῖ. Suppl. 554. λειμῶνα χιονοβόσκον, ὄντ' ἐπέρχεται. — ἐξ οὗτε ex quo. Pers. 748. ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν. Eum. 25. ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός. — ὅστε ἄν. Sept. 682. οὔτ' ἂν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται.

Ὀστέον os. Fragm. 360. ὀστέων στέγαστρον.

Ὅστις qui. Prom. 160. τίς ὧδε τλησικάρδιος θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ; Prom. 170. τὸ νέον βούλευμ', ὑφ' ὅτου σκῆπτρον τιμάς τ' ἀποσυλᾶται. Prom. 243. ἐκ πέτρας

εἰργασμένος, ὅστις, Προμηθεῦ, σοῖσιν οὐ συνασχαλᾷ μόχθοις. Prom. 263. ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα ἔχει, παραινεῖν. Prom. 291. οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν νείμαιμι. Prom. 468. οὐκ ἔχω σόφισμ', ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ. Prom. 612. λέξω τορῶς σοι πᾶν, ὅτι χρῄζεις μαθεῖν. Prom. 824. χάριν δὸς ἥντιν αἰτούμεσθα. Prom. 949. πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους αὐδᾶν. Sept. 2. χρὴ λέγειν τὰ καίρια, ὅστις φυλάσσει πρᾶγος. Sept. 179. ἀνὴρ γυνή τε χὤτι τῶν μεταίχμιον. Sept. 376. ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων. Sept. 474. ὁ σηματουργὸς —, ὅστις τόδ' ἔργον ὤπασε. Pers. 494. χὤστις μὲν ἡμῶν — ὡρμήθη, σεσωσμένος κυρεῖ. Pers. 499. εὐτυχὴς δέ τοι, ὅστις τάχιστα πνεῦμ' ἀπέῤῥηξεν βίου. Pers. 590. κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ, ἐπίσταται. Pers. 819. κόσμον, ὅστις εὐπρεπής. Prom. 991. οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ', ὅτῳ προτρέψεταί με Ζεύς. Prom. 1066. ἄλλο τι φώνει καὶ παραμυθοῦ μ', ὅτι καὶ πείσεις. Prom. 1169. μετὰ τοῦδ' ὅτι χρὴ πάσχειν ἐθέλω. Prom. 1072. κοὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον. Sept. 65. καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ. Ag. 97. τούτων λέξασ' ὅτι καὶ δυνατὸν καὶ θέμις αἰνεῖν. Ag. 155. Ζεὺς, ὅστις ποτ' ἐστίν. Ag. 162. οὐδ' ὅστις πάροιθεν ἦν μέγας — οὐδὲν ἂν λέξαι. Ag. 487. ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει. Ag. 669. μή τις, ὅντιν' οὐχ ὁρῶμεν; Ag. 769. ὅστις δ' ἀγαθὸς προβατογνώμων, οὐκ ἔστι λαθεῖν ὄμματα φωτός. Ag. 822. ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων. Ag. 1439. ἥτις ἦν τότ' ἐν δόμοις. Choeph. 108. πρῶτον μὲν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ. Choeph. 119. ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ. Choeph. 170. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν. Choeph. 594. ἴστω δ', ὅστις οὐχ ὑπόπτερος φροντίσιν δαείς. Choeph. 903. ποῦ δῆθ' ὁ τιμὸς, ὅντιν' ἀντεδεξάμην. Choeph. 985. ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος —, τίσει δοκεῖ; Eum. 306. ὅστις δ' ἀλιτρῶν, ὥσπερ ὅδ' ἀνὴρ, χεῖρας φονίας ἐπικρύπτει, — αὐτῷ τελέως ἐφάνημεν. Suppl. 1032. ὅτι τοι μόρσιμόν ἐστι, τὸ γένοιτ' ἄν. Phryg. 243. ναυβάτην φορτηγὸν, ὅστις ῥῶπον ἐξάγει χθονός. Fragm. 305. μὴ παρασπίστης ἐμοὶ εἴη, — ὅστις μὴ φίλος. — causam et explicationem continens. Prom. 38. ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας. Prom. 755. ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον. Prom. 761. ἥτις ἐκ Διὸς πάσχω κακῶς. Pers. 731. ὅστις Ἑλλήσποντον ἱερὸν — ἤλπισε σχήσειν. Ag. 1035. ἦ μαίνεταί γε —, ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον ἥκει. Ag. 1373. θαυμάζομέν σου γλῶσσαν ὡς θρασύστομος, ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον. — in interrogatione indirecta. Prom. 226. ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα αἰκίζεταί με. Prom. 295. σήμαιν' ὅτι χρή σοι συμπράττειν. Prom. 487 s. διώρισ', οἵτινές τε δεξιοὶ φύσιν εὐωνύμους τε καὶ δίαιταν ἥντινα ἔχουσ' ἕκα-

στοι. Prom. 608. τέκμηρον, ὅτι μ' ἐπαμμένει παθεῖν. Prom. 620. λέγ', ἥντιν' αἰτῇ. Prom. 621. σήμηνον, ὅστις ἐν φάραγγί σ' ὤχμασεν. Prom. 686. εἰ δ' ἔχεις εἰπεῖν, ὅτι λοιπὸν πόνων. Prom. 768. τί δ' ὅντινα; Ag. 1331. οὐκ οἶδα βουλῆς ἥστινος τυχὼν λέγω. Choeph. 21. ὡς ἂν σαφῶς μάθω, ἥτις γυναικῶν ἥδε προστροπή. Eum. 58. τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας, οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων. — cum coniunctivo. Eum. 202. γυναικὸς, ἥτις ἄνδρα νοσφίσῃ. Iaculatr. 219. γυναικὸς —, ἥτις ἀνδρὸς ᾖ γεγευμένη. — ὅστις ἄν. Prom. 35. ἅπας δὲ τραχὺς, ὅστις ἂν νέον κρατῇ.

Ὄστρακον *putamen ovi.* Fragm. 428.

Ὀστρακοῦσθαι *in testas diffringi.* Arg. 15. ἐναυάγησεν ὀστρακουμένη.

Ὄστρειον *ostreum.* Glauc. 21. κόγχοι, μύες κὤστρεια.

Ὀσφυαλγὴς *coxam dolentem habens.* Fragm. 381. ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδους λυγροῦ γέροντος.

Ὑποπομπή *ductus, imperium.* Pers. 58. δειναῖς βασιλέως ὑποπομπαῖς.

Ὑπόπτερος *levis.* Choeph. 594. ὅστις οὐχ ὑπόπτερος φροντίσιν δαείς.

Ὑποπτήσσειν *timere.* Prom. 29. θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον. Prom. 962. μή τι σοὶ δοκῶ ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς.

Ὕποπτος *suspectus.* Ag. 1620. ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἢ παλαιγενής.

Ὑπορχεῖσθαι *ad cantum saltare.* Choeph. 1021. πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ.

Ὑπόσκιος *umbrosus.* Suppl. 653. ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά. Adolesc. 134. ὑποσκίοισιν ἐν φυτηρίοις. Prom. sol. 182. ὑπόσκιον θήσει χθόνα.

Ὑπόσκοπος χείρ *manus fronti obtenta, sub qua speculari possis.* Theocr. 68.

Ὑποσπανίζεσθαι *privari, carere.* Pers. 481. ὑποσπανισμένους βορᾶς. Choeph. 570. φόνου δ' Ἐρινὺς οὐχ ὑποσπανισμένη.

Ὑποστεγάζειν *sustinere.* Prom. 428. γαῖον οὐράνιόν τε πόλον νώτοις ὑποστεγάζει.

Ὑποστροβεῖν *subagitare.* Ag. 1188. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ.

Ὑποσυρίζειν *substridere.* Prom. 126. αἰθὴρ δ' ἐλαφραῖς πτερύγων ῥιπαῖς ὑποσυρίζει.

Ὑπόσχεσις *promissum.* Suppl. 363. ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν.

Ὑποτοβεῖν *substrepere.* Prom. 574. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας ὑπνοδόταν νόμον.

Ὑπουργεῖν *morem gerere, gratificari.* Prom. 638. σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν. Choeph. 953. τὸ μὴ ὑπουργεῖν κακοῖς.

Ὑποχείριος *subjectus.* Suppl. 387. μήτι ποτ' οὖν γενοίμαν ὑποχείριος κράτεσιν ἀρσένων.

Ὕποχος *subditus.* Pers. 24. βασιλῆς βασιλέως ὕποχοι μεγάλου.

Ὑπτίασμα *resupinatio.* Ag. 1258. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας, ἄξειν νιν ὑπτίασμα κειμένου πατρός. — Prom. 1007. γυναικομίμοις ὑπτιάσμασιν χερῶν.

Ὕπτιος *supinus.* Sept. 441. πάλος ἐξ ὑπτίου κήδησιν εὐχάλκου κράνους.

Ὑπτιοῦσθαι *subverti.* Pers. 410. ὑπτιοῦτο δὲ σκάφη νεῶν.

Ὗς *sus.* Fragm. 321. θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός.

Ὑσταίχμας nom. propr. Pers. 933.

Ὕστατος *ultimus*. Sept. 1042. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν. Ag. 1273. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται. Ag. 1297. ἡλίῳ δ' ἐπεύχομαι πρὸς ὕστατον φῶς. Ag. 1420. τὸν ὕστατον μέλψασα θανάσιμον γόον. Eum. 421. πρῶτον ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν. μέλημ' ἀφαιρήσω μέγα. Suppl. 228. ὑστάτας δίκας. Suppl. 698. οἴακος εὐθυντῆρος ὑστάτου νεώς.

Ὑστερόποινος *postea puniens*. Ag. 58. ὑστερόποινον πέμπει παραβᾶσιν Ἐρινύν. Choeph. 377. κάτωθεν ἀμπέμπων ὑστερόποινον Ἄταν.

Ὕστερος *posterior*. Sept. 679. λέγουσα κέρδος πρότερον ὑστέρου μόρου. Ag. 686. ὑστέρῳ χρόνῳ. Ag. 1651. ἐν ὑστέραισιν ἡμέραις. — Eum. 242. οὐδὲν ὑστέρα νεώς. — ὕστερον *serius*, *postea*. Sept. 979. σὺ δ' οὐδὲν ὕστερον μαθών. Choeph. 323. φαίνει δ' ὕστερον ὀργάς. — *a tergo*. Fragm. 271. ἐξῆς δ' ὀπηδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.

Ὑφαντός *textus*. Ag. 1562. ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων τὸν ἄνδρα τόνδε κείμενον.

Ὕφασμα *textura*. Ag. 1471. 1497. κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδε. Choeph. 27. λινοφθόροι δ' ὑφασμάτων λακίδες. Choeph. 229. ἰδοὺ δ' ὕφασμα τοῦτο. Choeph. 1010. πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε. Fragm. 330. σπαθητοῖς τριμιτίνοις ὑφάσμασι.

Ὑφέρπειν *subrepere*. Ag. 261. χαρά μ' ὑφέρπει. Choeph. 456. τρόμος μ' ὑφέρπει. — Ag. 438. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις.

Ὑφή *textura*. Ag. 923. φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.

Ὑφηγεῖσθαι *docere*. Eum. 183. πᾶς δ' ὑφηγεῖται τρόπος μορφῆς.

Ὑφίστασθαι *in se recipere*, *promittere*. Suppl. 456. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσῃ στόλῳ. Eum. 195. κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου. — ὑποστῆναι *obsistere* Pers. 87. δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν.

Ὑψήγορος *magniloquus*. Prom. 318. τῆς ἄγαν ὑψηγόρου γλώσσης. Prom. 360. ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων κομπασμάτων.

Ὑψηλόκρημνος *praeceps*. Prom. 5. πρὸς πέτραις ὑψηλοκρήμνοις.

Ὑψηλός *altus*. Pers. 459. ὑψηλὸν ὄχθον. Ag. 871. ὑψηλῆς στέγης στῦλον ποδήρη. Fragm. 378. ὑψηλὸν τεκτόνων πόνον.

Ὑψιγέννητος *in altum succrescens*. Eum. 43. ἐλαίας θ' ὑψιγέννητον κλάδον.

Ὑψίκρημνος *in alto praecipitio situs*. Prom. 419. ὑψίκρημνον πόλισμα. Glauc. 27. ἐς ὑψίκρημνον Ἱμέραν ἀφικόμην.

Ὑψίπυργος *altis turribus munitus*. Eum. 658. πόλιν νεόπτολιν τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε. — *turis instar in altum exstructus*. Suppl. 90. ἰάπτει δ' ὑψιπύργων πανώλεις βροτούς.

Ὕψιστος *altissimus*. Prom. 722. πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν ὕψιστον. — *extremus*, *summus*. Pers. 323. κακῶν ὕψιστα δὴ κλύω τάδε. Pers. 793. οὔ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν. Suppl. 474. ὕψιστος γὰρ

ἐν βροτοῖς φόβος. — Eum. 28. τέλειον ὕψιστον Δία.

Ὑψόθεν *desuper*, *ex alto*. Suppl. 166. ὑψόθεν δ' εὖ κλύοι καλούμενος. Suppl. 376. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει. Psychag. 257. ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σ' ἔπληξεν.

Ὕψος *altitudo*. Ag. 1349. ὕψος κρεῖσσον ἐκπηδήματος.

Ὑψοῦ, *in alto*. Nereid. 142. ὑψοῦ τέλος ἀθανάτων ἀπολείψει.

Ὑψώ *Hypsipyle*. Fragm. in Etym. Gud. p. 316, 30.

Φ.

Φαγέδαινα *phagedaena*, *morbus ulcerosus*. Philoct. 231. φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός.

Φαγεῖν *comedere*. Suppl. 223. ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών; Glauc. in Bekk. Anecd. p. 347, 22. ἀτὴν ἀείζων ἄφθιτον πόαν φαγών.

Φαεσφόρος *lucifer*. Ag. 475. τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων — παραλλαγάς.

Φαίδιμος *illustris*. Myrm. 115. φαίδιμ' Ἀχιλλεῦ.

Φαιδρόνους *animum serenum habens*. Ag. 1202. γλῶσσα μισητῆς κυνὸς λείξασα κἀκτείνασα φαιδρόνους.

Φαιδρός *lucidus*. Ag. 289. δίκην φαιδρᾶς σελήνης. Eum. 886. φαιδρὸν ἁλίου σέλας. — *serenus*, *hilaris*. Ag. 506. φαιδροῖσι τοῖσιδ' ὄμμασι δέξασθε κόσμῳ βασιλέα. Choeph. 558. θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο.

Φαιδρύνειν *nitidum reddere*. Ag. 1080. τὸν ὁμοδέμνιον πόσιν λουτροῖσι φαιδρύνασα. — *exhilarare*. Ag. 1091. οὔ με φαιδρύνει λόγος.

Φαιδρύντρια *lotrix*. Choeph. 748. παιδὸς σπαργάνων φαιδρύντρια.

Φαιδρωπός *vultu renidens*. Ag 707. φαιδρωπὸς ποτὶ χεῖρα σαίνων τε γαστρὸς ἀνάγκαις.

Φαίνειν *in lucem edere*. Fragm. 300. ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερὸν κίρκου λεπάργου. — *ostendere*, *prodere*. Choeph. 323. φαίνει δ' ὕστερον ὀργάς. Choeph. 802. πολλὰ δ' ἄλλα φανεῖ χρηΐζων. Choeph. 987. φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν. Choeph. 1017. ἄλλος φανεῖ δίκα. Fragm. 300. δύο γὰρ οὖν μορφὰς φανεῖ. — *sonum edere*. Eum. 541. σάλπιγξ — ὑπέρτονον γήρυμα φαινέτω στρατῷ. — *cum participio*, *perspicuum reddere*, *manifestare*. Ag. 101. ἐκ θυσιῶν ἀγανὰ (sc. οὖσα) φαίνουσ' ἐλπὶς ἀμύνει φροντίδα. — φαίνεσθαι *apparere*. Prom. 616. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς. Prom. 1030. πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ. Sept. 81. αἰθερία κόνις με πείθει φανεῖσα. Pers. 346. φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν. Pers. 655. δέσποτα δεσπότου φάνηθι. Ag. 24. εὐαγγέλου φανέντος ὀρφναίου πυρός. Ag. 115. ὁ κελαινὸς ὅ τ' ἐξόπιν ἀργίας φανέντες ἴκταρ μελάθρων. Ag. 471. πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι. Ag. 486. εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι. Ag. 873. γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα. Choeph. 141. τοῖς δ' ἐναντίοις λέγω φανῆναι σοῦ, πάτερ, τιμάορον. Eum. 310. πράκτορες αἵματος αὐτῷ τελέως ἐφάνημεν. Suppl. 614. λέγων δίπλαν

μίασμα πρὸ πόλεως φανέν. Pers. 256. ἢ μακροβίοτος ὅδε γέ τις αἰὼν ἐφάνθη γεραιοῖς. Suppl. 54. ἄελπτά περ ὄντα φανεῖται. Choeph. 411. πρὸς τὸ φανεῖσθαί μοι καλῶς. Fragm. 314. πότερα γυνή τις Αἰθίοψ φανήσεται; Ag. 364. πέφανται δ' ἐγγόνοις ἀτόλμητον Ἄρη πνεόντων. — Prom. 111. ἣ διδάσκαλος τέχνης πάσης βροτοῖς πέφηνε. — cum infinitivo, *videri*. Prom. 217. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι. Prom. 317. ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε. Prom. 1038. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται λέγειν. omisso infinitivo εἶναι. Prom. 999. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται. Pers. 596. ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν. Ag. 1085. τί τόδε φαίνεται; — cum participio, *perspicuum, manifestum esse*. Pers. 772. οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα. Ag. 579. λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην. omisso participio ὤν. Ag. 1615. κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.

Φαιοχίτων *atra veste indutus*. Choeph. 1045. αἵδε Γοργόνων δίκην φαιοχίτωνες.

Φάλαρον *ornamentum splendidum*. Pers. 652. βασιλείου τιήρας φάλαρον πιφαύσκων.

Φάναι *dicere*. Prom. 101. καίτοι τί φημι; Prom. 501. ἄργυρον χρυσόν τε τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; Prom. 560. τίνα φῶ λεύσσειν τόνδε; Prom. 689. νόσημα γὰρ αἴσχιστον εἶναί φημι συνθέτους λόγους. Sept. 24. ὡς ὁ μάντις φησίν. Sept. 410. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντός φησιν. Sept. 628. Δίκη δ' ἄρ' εἶναί φησιν. Sept. 833. τί φῶ; Pers. 217. ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην. Pers. 227. ποῦ τὰς Ἀθήνας φασὶν ἱδρύσθαι χθονός; Pers. 431. τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν; Pers. 438. ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι; Pers. 720. Ξέρξην ἐρημόν φασιν οὐ πολλῶν μέτα—μολεῖν. Ag. 259. πῶς φῄς; Ag. 805. καὶ φημὶ ταῦτά καὶ συνήγορόν μ' ἔχεις. Ag. 1010. καὶ παῖδα γάρ τοί φασιν Ἀλκμήνης ποτὲ πραθέντα τλῆναι. Ag. 1196. ποινάς φημι βουλεύειν τινά. Ag. 1219. Ἀγαμέμνονός σε φημ' ἐπόψεσθαι μόρον. Ag. 1560. φαίην ἂν ἤδη νῦν. Ag. 1596. σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν. Choeph. 89. οὐδ' ἔχω τί φῶ. Choeph. 116. τί φῶ; Choeph. 787. τί φῄς; Choeph. 1023. κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης. Eum. 523. τὸν ἀντίτολμον δὲ φαμὶ παρβάταν — καθήσειν. Eum. 852. τινά με φῂς ἔχειν ἕδραν; Suppl. 288. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ Ἰὼ γενέσθαι. Suppl. 297. φασὶν πρέποντα βουθόρῳ ταύρῳ δέμας. Suppl. 328. τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν; Suppl. 910. πῶς φῶ πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν; — οὐ φάναι *negare*. Ag. 360. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν. Ag. 1598. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα. Eum. 212. οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.—φάσθαι *dicere*. Pers. 687. δέομαι δ' ἀντία φάσθαι. Choeph. 314. τί σοι φάμενος ἢ τί ῥέξας; passivo

Prom. 845. δέρκεται πλέον τι τοῦ πεφασμένου.

Φανερῶς palam, manifeste. Prom. 1092. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν τεύχουσα φόβον στείχει φανερῶς. Eum. 913. περὶ τ' ἀνθρώπων φανερῶς τελέως διαπράσσουσιν.

Φανὸς laetus. Prom. 536. φαναῖς θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις.

Φαντάζεσθαι specie adsimilari. Ag. 1481. φανταζόμενος δὲ γυναικὶ νεκροῦ τοῦδε.

Φάντασμα species, visum. Sept. 692. ἐνυπνίων φαντασμάτων ὄψεις. Fragm. 293. νυκτέρων φαντασμάτων ἔχουσι μορφάς.

Φάος lux. Prom. 24. ἀσμένῳ δέ σοι ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος. Prom. 1023. ἄψοῤῥον ἥξεις ἐς φάος. Prom. 1094. ὦ πάντων αἰθὴρ κοινὸν φάος εἱλίσσων. Pers. 147. ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται μήτηρ βασιλέως. Pers. 218. ἐσθλὰ σοὶ πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος. Pers. 291. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει. Ag. 291. φάος δὲ τηλέπομπον οὐχ ἠναίνετο φρουρά. Ag. 293. λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος. Ag. 302. φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός. Ag. 494. χαῖρε δ' ἡλίου φάος. Ag. 561. ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει. Ag. 644. ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος. Ag. 1631. Ὀρέστης ἆρά που βλέπει φάος; Choeph. 60. ῥοπὴ δ' ἐπισκοπεῖ δίκας ταχεῖα τοῖς μὲν ἐν φάει. Choeph. 317. σκότῳ φάος ἰσόμοιρον. Choeph. 452. ἄκουσον ἐς φάος μολών. Eum. 716. νῦν ἀγχόνης μοι τέρματ' ἢ φάος βλέπειν. Anth. 6. πάλιν γὰρ ἥκουσ' ἐκ σκότους τόδ' ἐς φάος. Dan. 35. λαμπρὸν ἡλίου φάος. — dies. Pers. 255. ἀέλπτως νόστιμον βλέπω φάος. — laetitia, gaudium. Pers. 292. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα. Ag. 23. ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον φάος πιφαύσκων καὶ χορῶν κατάστασιν. Eum. 496. μηδὲν (στένοι) ἐν φάει καρδίας ἀνατρέφων. Cf. φῶς.

Φάραγξ rupes. Prom. 15. δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ. Prom. 142. τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις. Prom. 621. σίμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασεν. Prom. 1019. ὀκρίδα φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε.

Φαρανδάκης nom. propr. Pers. 31. 919.

Φάρμακον remedium. Prom. 249. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου; Prom. 473. ὁποίοις φαρμάκοις ἰάσιμος. Prom. 478. φαρμάκων χρείᾳ κατεσκέλλοντο. Prom. 609. τί φάρμακον νόσου; Ag. 534. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω. Ag. 822. ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων. Ag. 1233. φάρμακον τεύχουσα.

Φαρμάσσειν delinire. Ag. 94. λαμπὰς ἀνίσχει φαρμασσομένη χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις.

Φαρνοῦχος nom. propr. Pers. 305. 928.

Φᾶρος pallium. Sept. 311. περιῤῥηγνυμένων φαρέων. Choeph. 11. ὁμήγυρις στείχει γυναικῶν φάρεσιν μελαγχίμοις πρέπουσα. Choeph. 1006. μαρτυρεῖ δέ μοι φᾶρος τόδε. Eum. 604. φᾶρος παρ

ἐσκήνωσεν. Salam. 200. εἴ μοι γένοιτο φᾶρος ἶσον οὐρανῷ.

Φάσγανον gladius. Ag. 1235. θήγουσα φωτὶ φάσγανον.

Φασγανουργός gladios fabricans. Choeph. 637. προχαλκεύει δ' Αἶσα φασγανουργός.

Φᾶσις Phasis fluvius. Prom sol. 177. Ἀσίας τέρμονα Φᾶσιν.

Φάσκειν dicere. Choeph. 91. ἢ τοῦτο φάσκω τοὔπος; Choeph. 274. αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε τίσειν με. Suppl. 383. νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους εἶναι.

Φάσμα species, visum. Ag. 143. δεξιὰ μὲν, κατάμομφα δὲ φάσματα στρουθῶν. Ag. 265. πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις; Ag. 404. φάσμα δόξει δόμων ἀνάσσειν.

Φάτις dictum, sermo. Sept. 823. ἐξέπραξεν οὐδ' ἀπεῖπε πατρόθεν εὐκταία φάτις. Pers. 223. τήνδ' ἐκύρωσας φάτιν. Pers. 513. ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις ὑμῶν. Ag. 444. βαρεῖα δ' ἀστῶν φάτις ξὺν κότῳ. Ag. 597. οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρός. Ag. 1103. ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις βροτοῖς στέλλεται; Eum. 358. δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις. — fama, rumor. Ag. 9. αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν ἁλώσιμόν τε βάξιν. Ag. 267. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις. Ag. 617. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο; Ag. 842. ὡς πρὸς οἶκον ὠχετεύετο φάτις. Choeph. 725. τὴν νεάγγελτον φάτιν. Choeph. 826. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινάς. Suppl. 290. ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ. — appellatio. Aetn. 6. ἦ καὶ Παλίκων εὐλόγως μένει φάτις. — sermo, lingua. Ag. 1227. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.

Φαύλως perperam. Pers. 512. ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.

Φάψ palumbes minor. Prot. 192. δύστηνον ἀθλίαν φάβα. Philoct. 232. φαβῶν.

Φέγγος lux. Pers. 369. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο. Ag. 490. δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους. Ag. 1559. ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου. Choeph. 1033. πυρός τε φέγγος ἄφθιτον κεκλημένον. Eum. 983. τὸ φέγγος ὁρμάσθω πυρός. — Eum. 976. πέμψω τε φέγγη λαμπάδων σελασφόρων. — spectaculum laetum. Ag. 588. τί γὰρ γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν;

Φείδεσθαι parcere. Sept. 394. σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο.

Φελλός suber. Choeph. 499. φελλοὶ δ' ὡς ἄγουσι δίκτυον.

Φέρασπις clypeo instructus. Ag. 678. πολύανδροί τε φεράσπιδες κυναγοί. Pers. 236. ἔγχη σταδαῖα καὶ φεράσπιδες σάγαι.

Φερέγγυος idoneus. Sept. 378. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων, προστατεῖν φερέγγυος; Sept. 431. φερέγγυον φρούρημα. Sept. 452. πέμπε τὸν φερέγγυον πόλεως ἀπείργειν τῇσδε δούλειον ζυγόν. Sept. 779. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις. Eum. 87. σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

Φέρειν ferre. Sept. 334. ξυμβολεῖ φέρων φέροντι. Sept. 386. τῷ τοι

φέροντι σῆμ' ὑπέρκομπον τόδε. Sept. 525. φέρει δ' ὑφ' αὐτῇ φῶτα Καδμείων ἕνα. Sept. 541. ἐχθίστον δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος. Sept. 542. ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται. Sept. 1030. κόλπῳ φέρουσα βυσσίνου πεπλώματος. Choeph. 986. ἐξ οὗ τέκνων ἤνεγκ' ὑπὸ ζώνην βάρος. Suppl. 747. οὐδ' ὅρμος οὐδὲ πεισμάτων σωτηρία ἐς γῆν ἐνεγκεῖν. Fragm. 313. ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσι. — *ferre, tolerare.* Ag. 1036. χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν. Ag. 1199. φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν. Prom. 104. τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα. Prom. 754. ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις. Sept. 665. εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ. Pers. 285. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν. Pers. 871. θεότρεπτα τάδ' αὖ φέρομεν. Eum. 761. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν. — *gestare, habere.* Sept. 604. σάρκα δ' ἡβῶσαν φέρει. Choeph. 574. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν, Suppl. 972. πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει κακήν. Choeph. 241. πιστὸς δ' ἀδελφὸς ἦσθ' ἐμοὶ σέβας φέρων. Suppl. 484. τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει. Ag. 860. τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει. Suppl. 594. σπεῦσαί τι τῶν δούλιος φέρει φρήν. Choeph. 804. νύκτα πρό τ' ὀμμάτων σκότον φέρει. — *suffragia ferre.* Eum. 644. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον δικαίαν. Eum. 650. ψῆφον φέροντες. — *ferre, ducere.* Teleph. 217. ἁπλοῦς οἶμος εἰς ᾅδου φέρει. — *asportare.* Eum. 51. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας. — *abripere.* Sept. 669. μήτι σε θυμοπληθὴς δορίμαργος ἄτα φερέτω. Choeph. 1019. φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι. Ag. 1543. φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων. — *proferre, producere.* Prom. sol. 184. αἰτοσπόροι γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς. — *proferre, eloqui.* Ag. 998. εἰ δὲ μὴ τεταγμένα Μοῖρα Μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν. Ag. 1388. οὐδὲν τοῦδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων. — *adducere, efficere.* Ag. 5. τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς. Sept. 751. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστᾶν ὄλβος ἄγαν παχυνθείς. Arm. jud. 164. τί γὰρ καλὸν ζῆν βίοτον, ὃς λύπας φέρει; Eum. 795. γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν, φέροντα πάντα μὴ πράσσειν καλῶς. — *afferre.* Sept. 667. φέρ' ὡς τάχος κνημῖδας. Pers. 602. παιδὸς πατρὶ πρευμενεῖς χοὰς φέρουσα. Choeph. 15. ἢ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω χοὰς φερούσας; Choeph. 87. πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν γυναικὸς ἀνδρί; Choeph. 480. χοάς σοι τῆς ἐμῆς παγκληρίας οἴσω. Sisyph. 206. καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν. Eum. 56. κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας. Ag. 508. ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων. Ag. 1425. τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον. Ag. 410. πάρεισιν δόξαι φέρουσαι χάριν ματαίαν. Ag. 1106. πολυ-

παῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν. Sept. 352. πεύθεσθ' ἡμῖν, ὦ φίλαι, νέαν φέρει. Ag. 9. αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν. Choeph. 648. πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους. — *nunciare*. Sept. 40. ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων. Pers. 244. καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν. Ag. 625. ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει — φέρῃ. — φέρε *age*. Prom. 294. φέρε γὰρ, σήμαινε. Prom. 544. φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπὲ ποῦ τις ἀλκά; — φέρεσθαι *auferre*, *accipere*. Prom. 641. ὅπῃ μέλλει τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων. Eum. 256. ἀπὸ δὲ σοῦ βοσκὰν φεροίμαν. — passiv. φέρεσθαι *ferri*, *rapi*. Pers. 268. σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι πλαγκτοῖς ἐν διπλάκεσσιν. — Suppl. 677. ἀγνῶν δ' ἐκ στομάτων φερέσθω φήμα φιλοφόρμιγξ. Edon. 51. τυπάνου δ' ἠχὼ — φέρεται βαρυταρβής. — Prom. 885. ἔξω δὲ δρόμου φέρομαι. Choeph. 78. βίᾳ φερομένων. (φέρω Choeph. 648. φέρει Sept. 352. 525. 604. 665. 751. Pers: 244. Ag. 860. 1543. Choeph. 884. Suppl. 484. 594. 972. Arm. jud. 164. Teleph. 217. φέρομεν Pers. 871. φέρουσι Ag. 1106. Choeph. 1019. Prom. sol. 184. Fragm. 313. φέρῃ Ag. 625. φέροις Prom. 764. φέρε Prom. 294. 544. Sept. 657. φερέτω Sept. 669. φέρειν Prom. 104. Pers. 285. Ag. 998. 1036. 1199. Choeph. 87. 574. Eum. 56. 644. 761. Sisyph. 206. φέρων Sept. 40. 334. Ag. 508. 1388. Choeph. 241. φέροντι Sept. 334. 388. 542. φέροντα Sept. 541. Ag. 1543. Eum. 795. φέροντες Eum. 650. φέροντας Ag. 5. φέρουσα Sept. 1030. Pers. 602. Ag. 1425. φέρουσαν Ag. 9. φέρουσαι Ag. 410. φερούσας Choeph. 15. Eum. 51. οἴσω Choeph. 480. ἤνεγκε Choeph. 986. ἐνεγκεῖν Suppl. 747. — φεροίμαν Eum. 256. οἴσεσθαι Prom. 641. — φέρομαι Prom. 885. φέρεται Edon. 51. φερέσθω Suppl. 677. φέρεσθαι Pers. 268. φερομένων Choeph. 78.)

Φερέσβιος *victum praebens*. Fragm. 299. φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

Φερεσσεύης nom. propr. Pers. 304.

Φέρης nom. propr. Eum. 693. φέρητος ἐν δόμοις.

Φέριστος *optimus*. Sept. 39. φέριστε Καδμείων ἄναξ.

Φέρμα *foetus*. Ag. 118. βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν. Suppl. 672. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ.

Φερνή *dos*. Suppl. 957. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φερνήν.

Φέρτερος *fortior*. Prom. 770. ἢ τέξεταί γε παῖδα φέρτερον πατρός.

Φεῦ interiectio. Prom. 124. φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω; Prom. 690. ἄπεχε, φεῦ. Sept. 125. σύ τ' Ἄρης, φεῦ φεῦ, Κάδμου ἐπώνυμον πόλιν φύλαξον. Sept. 579. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις. Sept. 1045. φεῦ φεῦ, ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς Κῆρες. Pers. 277. φεῦ τῶν Ἀθηνῶν ἃς στένω

μεμνημένος. Pers. 560. τοὶ δ' ἄρ' πρωτόμοροι, φεῦ. Pers. 568. γναπτόμενοι δ' ἁλὶ δεινᾷ, φεῦ σκύλλονται. Pers. 711. φεῦ μέγας τις ἦλθε δαίμων. Pers. 725. φεῦ ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις. Ag. 1114. ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν Ἴτυν Ἴτυν στένουσα. Ag. 1280. φεῦ φεῦ. Ag. 1423. φεῦ, τίς ἂν ἐν τάχει — μόλοι; Ag. 1462...αἰνεῖς, φεῦ φεῦ, κακὸν αἶνον. Choeph. 193. φεῦ. εἴθ' εἶχε φώνην εὔφρονα. Choeph. 390. φεῦ φεῦ, κάρανα δαΐξας. Eum. 751. 778. ἐν γᾷ τᾷδε, φεῦ, ἰοὺ, ἀντιπαθῆ μεθεῖσα κραδίας σταλαγμόν. Eum. 801. 832. ἐμὲ παθεῖν τάδε, φεῦ. Eum. 803. 834. ἀτίετον, φεῦ, μύσος. Eum. 805. 836. οἶ οἶ δᾶ φεῦ.

Φεύγειν *fugere.* Prom. 857. φεύγουσα συγγενῆ γάμον. Prom. 908. τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ' ἄν. Sept. 190. ἐς πρώραν φυγών. Sept. 646. φυγόντα μητρόθεν σκότον. Pers. 101. τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν. Pers. 201. ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν Φοίβου. Choeph. 1034. φεύγων τόδ' αἷμα κοινόν. Eum. 74. ὅμως δὲ φεῦγε. Eum. 117. ἀνὴρ δ' οἴχεται φεύγων πρόσω. Eum. 167. ὑπό τε γᾶν φυγών. Suppl. 5. χθόνα σύγχορτον Συρίᾳ φεύγομεν. Suppl. 14. φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον. Suppl. 385. δεῖ τοί σε φεύγειν. Suppl. 537. ἔνθεν Ἰὼ οἴστρῳ ἐρεσσομένα φεύγει. Suppl. 758. ποῖ φύγωμεν Ἀπίας χθονός; — Suppl. 451. λέγοις ἄν, οὔ με φεύξεται. — *effugere.* Sept. 181. λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον. Sept. 263. οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον. Pers. 361. εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν. Pers. 470. ναῶν αἳ πεφεύγασιν μόρον. Ag. 1354. ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον. Choeph. 475. κἀγὼ, πάτερ, τοιάνδε σου χρείαν ἔχω, φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον. Fragm. 295. οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον. Ag. 653. ἄδην πόντιον πεφευγότες. Sept. 775. πόλις πέφευγεν ἥδε δούλειον ζυγόν. Choeph. 912. τὰς τοῦ πατρὸς δὲ πῶς φύγω; Suppl. 226. οὐδὲ μὴ 'ν ᾅδου θανὼν φύγῃ ματαίου αἰτίας. Eum. 622. πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα. — Ag. 259. πέφευγε τοὔπος ἐξ ἀπιστίας. — φεύγων *exul.* Ag. 1653. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους. Choeph. 134. ἐκ δὲ χρημάτων φεύγων Ὀρέστης ἐστίν. Eum. 440. τὸν πρὸ τοῦ φεύγων χρόνον. (φεύγει Suppl. 537. Fragm. 295. φεύγομεν Suppl. 5. φεῦγε Eum. 74. φεύγειν Ag. 1354. Eum. 622. Suppl. 14. 385. φεύγων Choeph. 134. 1034. Eum. 117. 440. φεύγοντα Pers. 201. φεύγοντας Ag. 1653. φεύγουσα Prom. 857. φύγω Choeph. 912. φύγῃς Sept. 263. φύγῃ Sept. 181. Suppl. 226. φύγωμεν Suppl. 758. φύγοιμι Prom. 908. φυγεῖν Pers. 101. Choeph. 475. φυγών Sept. 190. Eum. 167. φυγόντα Sept. 646. πέφευγε Sept. 775. Ag. 259. πεφεύγασι Pers. 470. πεφευγότες Ag. 653. φεύξεται Suppl. 451. φευξοίατο Pers. 361.)

Φεύζειν, φεῦ *exclamare*. Ag. 1281. τί ταῦτ' ἔφευξας;

Φεψαλοῦσθαι *comburi*. Prom. 362. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς ἐφεψαλώθη.

Φηλήτης *fallax*. Choeph. 995. φηλήτης ἀνήρ.

Φηλοῦν *fallere*. Ag. 478. τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.

Φήμη *vociferatio, cantus*. Sept. 848. ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐριννύος ἰαχεῖν. Suppl. 678. ἀγνῶν τ' ἐκ στομάτων φερέσθω φήμα φιλοφόρμιγξ. — *sermo*. Ag. 912. φήμη γε μέντοι δημόθρους μέγα σθένει. Choeph. 1041. μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς. — *nuncius*. Choeph. 730. φήμης ὕφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς. — *dictum, quod vulgo obtinet*. Suppl. 741. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν εἶναι.

Φημίζειν *dicere*. Choeph. 551. ἦ καὶ Λοξίας ἐφήμισεν. — φημίζεσθαι *dicere, eloqui*. Ag. 615. μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω. Ag. 1134. τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω; Ag. 1146. ἑπόμενα προτέροισιν τάδ' ἐφημίσω.

Φθάνειν *celeritate occupare, primum esse*. Pers. 738. δέδοικα μὴ πολὺς πλούτου πόνος οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.

Φθέγγεσθαι *vocem emittere*. Choeph. 107. φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν. Prom. 34. πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς φθέγξῃ.

Φθέγμα *vox*. Prom. 590. κλύεις φθέγμα τᾶς βούκερω παρθένου;

Φθείρειν *perdere, pessumdare*. Pers. 240. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν. Ag. 638. φθείροντι τὸν δύστηνον Ἀργείων στρατόν. Ag. 923. ποσὶν φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς. Choeph. 1008. πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος. — φθείρεσθαι *vinci, confici, perdi*. Pers. 443. ὅταν νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο. Pers. 275. στρατοῦ φθαρέντος. Pers. 264. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταί.

Φθερσιγενής *genus perdens*. Sept. 1046. φθερσιγενεῖς Κῆρες Ἐριννύες.

Φθίνασμα *occasus*. Pers. 228. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.

Φθίνειν *occidere*. Ag. 7. ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν. — φθίσαι *perdere*. Eum. 165. παλαιγενεῖς δὲ Μοίρας φθίσας. — φθίσθαι *periisse*. Sept. 954. πρὸς φίλου ἔφθισο. Eum. 436. ἔφθιθ' οὗτος οὐ καλῶς. — φθίμενος *mortuus*. Sept. 318. τὸν φθίμενον γὰρ προλέγω βέλτερα τῶνδε πράσσειν. Sept. 714. χθόνα ναίειν διαπήλας, ὁπόσαν καὶ φθιμένοισι κατέχειν. Pers. 618. φθιμένων πομποὺς εὔφρονας. Ag. 994. οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν Ζεὺς ἂν αὐτ' ἔπαυσεν. Choeph. 359. ὑπὸ Τρωΐας τείχεσσι φθίμενος. Choeph. 397. παρὰ τῶν προτέρων φθιμένων. Choeph. 400. πολυκρατεῖς Ἀραὶ φθιμένων.

Φθιτός *mortuus*. Pers. 216. δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι. Pers. 514. ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα

ἥξω λαβοῦσα πέλανον. Eum. 97. ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται.

Φθιώτης *Phthiota*. Myrm. 119. Φθιῶτ' Ἀχιλεῦ.

Φθογγή *vox*. Ag. 37. οἶκος δ' αὐτὸς εἰ φθογγὴν λάβοι σαφέστατ' ἂν λέξειεν. Ag. 316. καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἔστι. Ag. 1613. ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ. Suppl. 194. φθογγῇ δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ.

Φθόγγος *vox, sermo*. Sept. 73. πόλιν — Ἑλλάδος φθόγγον χέουσαν. Ag. 228. φθόγγον ἀραῖον οἴκοις. Suppl. 242. εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

Φθονεῖν *recusare, negare*. Prom. 586. μηδέ μοι φθονήσῃς εὐγμάτων, ἄναξ. Sept. 218. οὔτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος. Sept. 462. μηδέ μοι φθόνει λέγων.

Φθονερός *invisus*. Ag. 438. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει.

Φθόνος *invidia*. Prom. 631. φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θράξαι φρένας. Prom. 861. φθόνον δὲ σωμάτων ἕξει θεός. Pers. 354. οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον. Ag. 254. οὐδὲ σιγώσῃ φθόνος. Ag. 807. φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν. Ag. 878. φθόνος δ' ἀπέστω. Ag. 921. θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος. Eum. 656. ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι.

Φθορά *exitium*. Ag. 394. ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθοράν. Ag. 788. ἀνδροθνῆτας Ἰλίου φθοράς.

Φθόρος *exitium*, ἐς φθόρον *exsecrandi formula*. Sept. 234. οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε; Ag. 1240. ἴτ' ἐς φθόρον πεσόντα.

Φιλαίακτος *eiulatus ciens*. Suppl. 784. τὸ γὰρ θανεῖν ἐλευθεροῦται φιλαιάκτων κακῶν.

Φιλαίματος *sanguine amans*. Sept. 45. φιλαίματον φόβον.

Φιλαίτιος *ad culpandum proclivis*. Suppl. 480. κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.

Φίλανδρος *viros amans*. Sept. 884. στένει πέδον φίλανδρον.

Φιλάνθρωπος *homines amans*. Prom. 11. φιλανθρώπου δὲ παύεσθαι τρόπου. Prom. 28. τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.

Φιλάνωρ *mariti amans*. Pers. 133. πόθῳ φιλάνορι. Ag. 399. ἰὼ λέχος καὶ στίβοι φιλάνορες. Ag. 830. οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους λέξαι πρὸς ὑμᾶς.

Φιλεῖν *amare*. Ag. 628. διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ. Choeph. 881. φιλεῖς τὸν ἄνδρα; Choeph. 893 s. ἐπεὶ φιλεῖς τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς. Myrm. 118. καὶ μήν, φιλῶ γάρ, ἀβδέλυκτ' ἐμοὶ τάδε. — cum infinitivo. Sept. 393. αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ. Sept. 601. φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια. — *solere*. Pers. 592. πάντα δειμαίνειν φιλεῖ. Ag. 741. φιλεῖ δὲ τίκτειν ὕβρις — ὕβριν. Suppl. 750. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ. Europ. 49. ἀλλ' Ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντ' ἀπανθρωποῦν στρατοῦ. Fragm. 283. φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός. —

osculari. Ag. 1540. πατέρ' ἀντιάσασα — περὶ χεῖρε βαλοῦσα φιλήσει.

Φίλημα osculum. Myrm. 121. ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Φιλήνιος freno adsuetus. Prom. 463. ὑφ' ἅρματ' ἤγαγον φιληνίους ἵππους.

Φιλήτης Choeph. 998 l. d. Vid. Φηλήτης.

Φιλήτωρ amatrix. Ag. 1421. κεῖται φιλήτωρ τοῦδε.

Φιλία amicitia. [Sept. 866. οὐκ ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε.]

Φίλιος amicus. Sept. 128. φιλία γὰρ ἥδε τάξις — προσίβα. Ag. 346. ὦ Ζεῦ βασιλεῦ καὶ Νὺξ φιλία. Ag. 1470. 1496. φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω; Choeph. 708. φίλιαι δμωΐδες οἴκων. Choeph. 798. φιλίοις ὄμμασι. Suppl. 528. γένος φιλίας προγόνου γυναικός.

Φιλόγαθής laetitiam amans. Sept. 901. γόος — δαϊόφρων, οὐ φιλογαθής.

Φιλόδυρτος eiulationes amans. Suppl. 66. φιλόδυρτος Ἰαονίοισι νόμοισι δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειάν.

Φιλόθυτος lubenti animo et ex consuetudine sacra faciens. Sept. 162. φιλοθύτων δέ τοι πόλεος ὀργίων μνήστορες ἔστε μοι.

Φιλοικτος misericordiam movens. Ag. 232. ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ.

Φιλόμαστος uberibus adhaerens. Ag. 140. πάντων τ' ἀγρονόμων φιλομάστοις θηρῶν ὀβρικάλοισι. Ag. 701. ἔθρεψεν δὲ λέοντα σίνιν δόμοις ἀγάλακτον οὕτως ἀνὴρ φιλόμαστον.

Φιλόμαχος pugnae amans. Sept. 120. σύ τ' ὦ Διογενὲς, φιλόμαχον κράτος. Ag. 222. φιλόμαχοι βραβῆς.

Φιλόξενος hospites colens. Choeph. 645. εἴπερ (δώματα) φιλόξεν' ἐστὶν Αἰγίσθου δίαι. Suppl. 904. ἤκουσα τοὔπος οὐδαμῶς φιλόξενον. Prom. sol. 184. δῆμον ἐνδικώτατον — καὶ φιλοξενώτατον.

Φιλόπολις urbis amans. Sept. 159. ἰὼ φίλοι δαίμονες, — δείξαθ' ὡς φιλοπόλις.

Φίλορνις avibus refugium praebens. Eum. 23. Κωρυκὶς πέτρα κοίλη, φίλορνις.

Φίλος carus, dilectus, amicus. Sept. 144. ὦ φίλ' Ἄπολλον. Sept. 135. 139. Ἄρτεμι φίλα. Sept. 157. ἰὼ φίλοι δαίμονες. Sept. 169. Ag. 903. ἐν εὐεστοῖ φίλῃ. Sept. 185. ὦ φίλον Οἰδίπου τέκος. Sept. 677. φίλου γάρ ἐχθρά μοι πατρὸς — Ἀρά. Sept. 917. διατομαῖς οὐ φίλαις. Sept. 999. γῆς φίλαις κατασκαφαῖς. Pers. 549. Σουσίδαις φίλος ἄκτωρ. Pers. 639 s. ἦ φίλος ἀνὴρ, φίλος ὄχθος, φίλα γὰρ κέκευθεν ἤθη. Pers. 763. ξὺν ἀνδράσιν φίλοισιν. Pers. 792. φίλον πίασμα Βοιωτῶν χθονί. Pers. 818. ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη. Ag. 237. πατρὸς φίλου. Ag. 501. Ἑρμῆν, φίλον κήρυκα. Ag. 504. φίλαι στέγαι. Ag. 605. τῆσδε γῆς φίλον κράτος. Ag. 879. ἐμοὶ φίλον κάρα. Ag. 956. φρενὸς φίλον θρόνον. Ag. 966. ἐλπίδος φίλον θράσος. Ag. 1634. φίλοι λοχῖται. Choeph. 87. λέγουσα παρὰ φίλης φίλῳ φέρειν

γυναικὸς ἀνδρί. Choeph. 129. φίλον τ' Ὀρέστην. Choeph. 217. μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον. Choeph. 274. τῇ φίλῃ ψυχῇ. Choeph. 404. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ. Choeph. 539. θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα. Choeph. 607. φῶτ' ἀπώλεσεν φίλον. Choeph. 697. οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος. Choeph. 738. φίλον δ' Ὀρέστην Choeph. 783. ἀνδρὸς φίλου πῶλον. Eum. 261. τοκέας φίλους. Eum. 508. ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος. Eum. 953. παρθένου φίλας φίλοι. Suppl. 793. βίαια μὴ φίλοις ὁρῶν ὄμμασιν. Suppl. 932. σὺν φίλοις ὀπάοσι. Suppl. 955. φίλαι δμωΐδες. Suppl. 1021. μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν. Phryg. 252. ἄλοχον ἤγαγεν φίλην. — *acceptus, gratus*. Ag. 156. εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ. Prom. 663. δαίμοσιν πράττειν φίλα. — τὰ φίλα *amor, cupiditas*. Sept. 732. κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις. — φίλτατος *carissimus, dilectissimus*. Sept. 16. γῇ τε μητρί, φιλτάτῃ τροφῷ. Sept. 659. φίλτατ' ἀνδρῶν. Pers. 504. φιλτάτην ἥβην χθονός. Ag. 320. ἀποιμώζουσι φιλτάτων μόρον. Ag. 493. φιλτάτου τάφου μέρος. Ag. 1391. φιλτάτην ἐμοὶ ὠδῖνα. Ag. 1639. ὦ φίλτατ' ἀνδρῶν. Choeph. 191. τοῦ φιλτάτου βροτῶν Ὀρέστου. Choeph. 232. τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς. Choeph. 233. ὦ φίλτατον μέλημα. Choeph. 489. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρας; Choeph. 880. τέθνηκας φίλτατ' Αἰγίσθου βία. Choeph. 1047. φίλτατ' ἀνθρώπων πατρί. Eum. 100. παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων. Eum. 442. ποιναῖσι φιλτάτου πατρός. Eum. 578. μητρὸς αἷμα φίλτατον. Prom. sol. 18. ἐχθροῦ πατρός μοι φίλτατον τέκνον. Suppl. 597. φίλτατ' ἀγγέλων ἐμοί. Eum. 207. ὅθεν βροτοῖσι γίνεται τὰ φίλτατα. Pers. 837. οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν. — φίλος substantivi vice fungens, *amicus*. Prom. 225. τοῖς φίλοισι μὴ πεποιθέναι. Prom. 246. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ. Prom. 296. ὡς Ὠκεανοῦ φίλος ἐστὶ βεβαιότερός σοι. Prom. 304. τόνδε τὸν Διὸς φίλον. Prom. 614. ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα. Sept. 244. μὴ φίλους φέβει. Sept. 252. θάρσος φίλοις. Sept. 402. ὑπὲρ φίλων ὀλομένων. Sept. 857. φίλων ἄπιστοι. Sept. 892. διαλλακτῆρι δ' οὐκ ἀμεμφία φίλοις. Sept. 945 s. πρὸς φίλων ἔφθισο. καὶ φίλον ἔκτανες. Sept. 1015. ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο. Pers. 215. καὶ πόλει φίλοις τε πᾶσι. Pers. 225. θεοῖσι τοῖς τ' ἔνερθε γῆς φίλοις. Pers. 266. φίλων ἁλίδονα σώματα. Pers. 445. φίλους δ' ὑπεκσώζοιεν. Pers. 660. ὦ πολύκλαυτε φίλοισι θανών. Pers. 688. λέξας δυσλύκτα φίλοισιν. Pers. 729. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις. Pers. 755. ἔθηκε πᾶσιν εἰρήνην φίλοις. Pers. 917. ποῖ δὲ φίλων ἄλλος ὄχλος; Pers. 944. φίλων ἄταισι ποντίαισι. Ag. 429. φίλοισι πέμπει βαρὺ ψῆγμα. Ag. 607. ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον. Ag. 807. φίλον τὸν εὐτυχοῦντα. Ag. 1074. κακὸν

ἄφερτον φίλοισιν. Ag. 1128. γάμοι Πάριδος ὀλέθριοι φίλων. Ag. 1192. πρὸς τῶν φίλων. Ag. 1209. ἄσπονδόν τ' ἄρην φίλοις πνέουσαν. Ag. 1245. καταγελωμένην μέγα φίλων ὕπο. Ag. 1256. ἄτας τάσδε θριγκώσων φίλοις. Ag. 1347. ἐχθροῖς — φίλοις δοκοῦσιν εἶναι. Ag. 1404. στερομέναν φίλων. Choeph. 108. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω; Choeph. 340. νεοκρᾶτα φίλον κομίσειεν. Choeph. 349. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι. Choeph. 449. ξυγγενοῦ πάτερ φίλοις. Choeph. 490. Δίκην ἴαλλε σύμμαχον φίλοις. Choeph. 545. τἄλλα δ' ἐξηγοῦ φίλοις. Choeph. 672. δόξα νικήσει φίλων. Choeph. 684. φίλων ἀποφιλοῖς με. Choeph. 694. τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις. Choeph. 706. οὐ σπανίζοντες φίλων. Choeph. 813. ἄτα δ' ἀποστατεῖ φίλων. Choeph. 820. τοῖς θ' ὑπὸ χθονὸς φίλοισιν. Choeph. 970. σεμνοὶ μὲν ἦσαν — φίλοι τε καὶ νῦν. Choeph. 987. φίλον τέως, νῦν δ' ἐχθρόν. Choeph. 1022. κηρύσσω φίλοις. Eum. 118. φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες. Eum. 285. φίλοις ἀρήγουσα. Eum. 336. ὅταν Ἄρης — φίλον ἕλῃ. Eum. 861. ἐπικτήσῃ φίλους. Eum. 953. παρθένου φίλας φίλοι. Suppl. 70. δειμαίνουσα φίλους. Suppl. 332. τίς δ' ἂν φίλους ὤνοῖτο; Suppl. 494. καὶ δὴ φίλον τις ἔκτανε. Suppl. 699. ὡς ἂν οὐ φίλῃ. Suppl. 962. πρὸς τοὺς ἐκτενεῖς φίλους. Prom. 545. ὦ φίλος. Pers. 227. 611. ὦ φίλοι. Pers. 158. 202. 437. 590. φίλοι. Sept. 352. 836. Choeph. 98. ὦ φίλαι. Eum. 138. Suppl. 691. φίλαι.

Φιλόσπονδος libari solitus. Choeph. 290. φιλοσπόνδου λιβός.

Φιλοστόνως cum magno eiulatu. Sept. 261. τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς.

Φιλότης amicitia. Prom. 123. διὰ τὴν λίαν φιλότητα βροτῶν. Prom. 191. εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα — ἥξει. Ag. 772. τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι.

Φιλότιμος venerabilis. Eum. 986. μεγάλαι φιλότιμοι Νυκτὸς παῖδες. — venerabundus. Suppl. 644. ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά.

Φιλοφόρμιγξ ad citharam cantatus. Suppl. 678. ἐκ στομάτων φερέσθω φῆμα φιλοφόρμιγξ.

Φιλόφρων mitis, clemens. Pers. 97. φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον παράγει βροτόν.

Φιλόχορος saltationes amans. Pers. 440. ὁ φιλόχορος Πάν.

Φίλτρον incitamentum. Choeph. 1025. φίλτρα τόλμης τῆσδε.

Φίλως amice. Ag. 238. εὔποτμον αἰῶνα φίλως ἐτίμα. Ag. 314. διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις. Ag. 1573. προθύμως μᾶλλον ἢ φίλως. Ag. 1563. τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί.

Φιμός capistrum. Sept. 445. φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον. Fragm. 341. πώλους — φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας.

Φινεύς Phineus. Eum. 50. Φινέως — δεῖπνον φερούσας.

Φιτύειν procreare. Prom. 233. αἰστώσας γένος τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον. Suppl. 308.

καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.

Φίτυμα proles. Ag. 1254. μητροκτόνον φίτυμα, ποινατὴρ πατρός.

Φιτυποιμὴν plantarum curator, hortulanus. Eum. 871. ἀνδρὸς φιτυποιμένος δίκην.

Φλάζειν discindere, φλαδεῖν dissilire, discindi. Choeph. 28. λινόφθοροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν.

Φλαῦρος malus. Pers. 213. εἴ τι φλαῦρον εἶδες.

Φλεγέθειν flagrare. Suppl. 82. παντᾶ τοι φλεγέθει κὰν σκότῳ.

Φλέγειν comburere. Prom. 583. πυρί φλέξον. — calefacere. Pers. 356. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ. Pers. 496. φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος μέσον πόρον διῆκε. — ignem vibrare. Sept. 495. Ζεὺς — διὰ χερὸς βέλος φλέγων. — Intransitive lucere, splendere. Sept. 370. φλέγονθ' ὑπ' ἄστροις οὐρανόν. Sept. 415. φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη. Ag. 299. φλογὸς μέγαν πώγωνα — φλέγουσαν. — Suppl. 654. γεραροῖσι πρεσβυτοδόκοι γεμόντων θυμέλαι φλεγόντων τε. — flagrare. Sept. 52. θυμὸς ἀνδρείᾳ φλέγων. Iaculatr. 219. νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμός. — exardescere. Sept. 268. πρὶν — ταχυῤῥόθους λόγους ἐκέσθαι καὶ φλέγειν χρείας ὕπο. — φλέγεσθαι lucere. Ag. 91. βωμοὶ δώροισι φλέγονται.

Φλεγραῖος Phlegraeus. Eum. 285. Φλεγραίαν πλάκα.

Φλέδων nugatrix. Ag. 1168. ἡ ψευδόμαντις εἰμι θυροκόπος φλέδων;

Φλεῖν abundare. Ag. 367. φλεόντων δωμάτων ὑπέρφευ. Ag. 1390. μήλων φλεόντων.

Φλέψ vena. Sisyph. 211. σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόῤῥυτοι φλέβες.

Φλογμός ardor. Eum. 909. φλογμός τ' ὀμματοστερὴς φυτῶν.

Φλογωπός lucidus, igneus. Prom. 253. φλογωπὸν πῦρ. Prom. 496. φλογωπὰ σήματα.

Φλογώψ lucidus. Prom. 793. πρὸς ἀντολὰς φλογώπας ἡλιοστιβεῖς.

Φλοῖσβος aestus. Prom. 794. πόντου περῶσα φλοῖσβον.

Φλόξ flamma. Prom. 22. σταθευτὸς δ' ἡλίου φοίβῃ φλογί. Prom. 359. καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα. Prom. 924. κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα. Prom. 994. ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ. Prom. 1019. βροντῇ καὶ κεραυνίᾳ φλογί. Pers. 497. ἡλίου κύκλος μέσον πόρον διῆκε θερμαίνων φλογί. Ag. 297. φλογὸς μέγαν πώγωνα. Ag. 467. φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν. Ag. 482. δαίων φλόγα ὕλης ὀρείας. Ag. 583. θυηφάγον κοιμῶντες εὐώδη φλόγα. Choeph. 266. θανόντας ἐν κηκῖδι πισσήρει φλογός. Fragm. 299. πομπὸν ἐκλάμψας φλόγα.

Φλύειν magniloque se iactare. Prom. 502. μὴ μάτην φλῦσαι θέλων. Sept. 643. γράμματα ἐπ' ἀσπίδος φλύοντα.

Φοβεῖν metu percellere. Sept. 244. μὴ φίλους φόβει. Pers. 211. οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις. — φοβεῖσθαι metuere. Prom. 128. μηδὲν φο-

βηθῇς. Prom. 568. φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν. Prom. 935. τί δ' ἂν φοβοίμην; Prom. 1005. Διὸς γνώμην φοβηθείς. Sept. 458. βρόμον φοβηθείς. Sept. 1052. φοβοῦμαι κἀποτρέπομαι δεῖμα πολιτῶν. Choeph. 46. φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν. Choeph. 57. φοβεῖται δέ τις. Choeph. 1048. μὴ φοβοῦ νικῶν πολύ. Suppl. 715. πάτερ, φοβοῦμαι. Suppl. 870. οἴμοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε.

Φοβερός *formidabilis*. Prom. 127. πᾶν μοι φοβερὸν τὸ προσέρπον. Sept. 78. θρεῦμαι φοβερὰ μεγάλ' ἄχη. Pers. 27. φοβεροὶ μὲν ἰδεῖν. Pers. 48. φοβερὰν ὄψιν προσιδέσθαι. Ag. 149. μίμνει γὰρ φοβερὰ παλίνορτος — μῆνις. Eum. 944. ἐκ τῶν φοβερῶν τῶνδε προσώπων. Suppl. 868. 877. βοᾶν φοβερὸν ἀπότρεπε. Edon. 51. φοβεροὶ μῖμοι. — *ex horrore exortus*. Prom. 144. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὁμίχλη προσῇξε.

Φόβη *cincinnus*. Choeph. 186. πῶς γὰρ ἐλπίσω ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;

Φόβος *metus*. Prom. 181. ἐμὰς δὲ φρένας ἐρέθισε διάτορος φόβος. Prom. 698. φόβου πλέα τις εἶ. Prom. 883. καρδία δὲ φόβῳ φρένα λακτίζει. Prom. 1092. τεύχουσα φόβον. Sept. 114. φόβος δ' ἀρηΐων ὅπλων. Sept. 196. ἦρθην φόβῳ πρὸς μακάρων λιτάς. Sept. 292. ταρβοσύνῳ φόβῳ — ἱκόμαν. Sept. 241. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος. Sept. 252. λύουσα πολέμιον φόβον. Sept. 269. φόβῳ δ' οὐχ ὑπαίσσετο κέαρ. Sept. 268. χαλκήλατοι κλάζουσι κώδωνες φόβον. Sept. 480. φόβον βλέπων. Sept. 482. φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται. Sept. 788. παραφρονῶ φόβῳ λέγουσ. Pers. 115. φρὴν ἀμύσσεται φόβῳ. Pers. 164. ἀμφὶ δ' ὀφθαλμοῖς φόβος. Pers. 202. φόβῳ δ' ἄφθογγος ἐστάθην. Pers. 383. φόβος δὲ πᾶσι βαρβάροις παρῆν. Pers. 595. πάντα μὲν φόβου πλέα — φαίνεται. Ag. 14. φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ. Ag. 898. βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου. Ag. 1106. φόβον φέρουσιν μαθεῖν. Ag. 1216. φόβος μ' ἔχει. Ag. 1279. τίς σ' ὑποστρέφει φόβος. Ag. 1289. οὕτως δυσοίζω θάμνον ὡς ὄρνις φόβῳ. Ag. 1409. οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν. Choeph. 32. 35. τορὸς γὰρ φόβος ὀρθόθριξ — μυχόθεν ἔλακε, περὶ φόβῳ γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνών. Choeph. 100. μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός. Choeph. 165. ὀρχεῖται δὲ καρδία φόβῳ. Choeph. 286. μάταιος ἐκ νυκτῶν φόβος κινεῖ. Choeph. 916. ἦ κάρτα μάντις οὑξ ὀνειράτων φόβος. Choeph. 1020. πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος. Eum. 88. μὴ φόβος σε νικάτω φρένας. Eum. 661. σέβας ἀστῶν φόβος τε συγγενὴς τὸ μὴ 'δικεῖν σχήσει. Suppl. 221. κίρκων τῶν ὁμοπτέρων φόβῳ. Suppl. 374. φόβος μ' ἔχει φρένας. Suppl. 474. ὕψιστος γὰρ ἐν βροτοῖς φόβος. Suppl. 493. φύλαξαι, μὴ θράσος τέκῃ φόβον. Suppl. 508. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός. Suppl. 767. οἴχομαι φόβῳ. — Sept. 124. ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου. — Φόβος *Timor*. Sept. 45. Ἄρην,

Ἐννὼ καὶ φιλαίματον Φόβον ἀρκωμότησαν.

Φοίβη *Phoebe.* Eum. 7 s. Τιτανὶς ἄλλη παῖς Χθονὸς καθίζετο Φοίβη· δίδωσι δ' ἡ γενέθλιον δόσιν Φοίβῳ· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.

Φοῖβος *Phoebus.* Sept. 673. Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος. Pers. 202. πρὸς ἐσχάραν Φοίβου. Eum. 8. δίδωσι δ' ἡ γενέθλιον δόσιν Φοίβῳ. Eum. 273. πρὸς ἑστίᾳ θεοῦ Φοίβου. Eum. 714. ὦ Φοῖβ' Ἄπολλον. Psychost. 264. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα.

Φοῖβος *lucidus.* Prom. 22. σταθευτὸς δ' ἡλίου φοίβῃ φλογί.

Φοινικόβαπτος *purpura tinctus.* Eum. 982. φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι.

Φοινικόπεδος *rubram planitiem, superficiem habens.* Prom. sol. 178. φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης.

Φοίνιος *purpureus.* Sept. 719. μελαμπαγὲς αἷμα φοίνιον. — *cruentus.* Ag. 629. φοινίαν ξυνωρίδα. Ag. 1136. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ. Ag. 1251. κοπείσης φοινίῳ προσφάγματι. Ag. 1363. ψακάδι φοινίας δρόσου. Choeph. 24. πρέπει παρηὶς φοινίοις ἀμυγμοῖς. Choeph. 605. φοινίαν Σκύλλαν. Choeph. 823. φοινίαν ἄταν τιθείς.

Φοίνισσα *Phoenissa.* Pers. 402. πάντα Φοινίσσης νεὼς κόρυμβα.

Φοιταλέος *circumagens.* Prom. 601. χρίουσα κέντροισι φοιταλέοισιν.

Φοιτὰς *insana.* Ag. 1246. καλουμένη δὲ φοιτὰς — ἠνεσχόμην.

Φοῖτος *rabies.* Sept. 643. σὺν φοίτῳ φρενῶν.

Φονεύειν *necare.* Sept. 323. ἄλλος δ' ἄλλον ἄγει, φονεύει.

Φονεὺς *interfector.* Ag. 1204. θῆλυς ἄρσενος φονεύς ἐστιν. Ag. 1298. φονεῦσι τοῖς ἐμοῖς. Ag. 1632. ὅπως — ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς. Eum. 120. φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται. Eum. 403. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.

Φονὴ *caedes.* Ag. 435. τὸν δ' ἐν φοναῖς καλῶς πεσόντα.

Φόνιος *caedis cupidus.* Pers. 82. φονίου δέργμα δράκοντος. — *necans.* Choeph. 310. ἀντὶ δὲ πληγῆς φονίας φονίαν πληγὴν τινέτω. — *caede pollutus.* Eum. 307. χεῖρας φονίας ἐπικρύπτει. — *in caede effusus.* Choeph. 394. φονίας σταγόνας χυμένας ἐς πέδον. — *cruentus.* Suppl. 820. πολυαίμων φόνιος ἀποκοπὰ κρατός.

Φονολιβὴς *sanguinem stillans.* Ag. 1402. φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται. Eum. 158. φονολιβῆ θρόνον.

Φονόρυτος *sanguine conspersus.* Sept. 921. ἐν δὲ γαίᾳ ζωὰ φονορύτῳ μέμικται.

Φόνος *caedes.* Prom. 355. συρίζων φόνον. Sept. 116. κινύρονται φόνον χαλινοί. Sept. 48. γῆν θανόντες τήνδε φυράσειν φόνῳ. Sept. 226. τούτῳ γὰρ Ἄρης βόσκεται φόνῳ βροτῶν. Sept. 556. Ἐριννύος κλητῆρα, πρόσπολον φόνου. Sept. 803. πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ. [Sept. 867. ἐπὶ φόνῳ διεκρίθητε.] Ag. 1065. ὧν ἀνευρήσει φόνον. Ag. 1088. ἡ ξυναιτία φόνου. Ag. 1236. ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον. Ag. 1282. φόνον δόμοι πνέουσιν αἱματοσταγῆ. Ag. 1487.

ἀναίτιος εἶ τοῦδε φόνου. Ag. 1586. τοῦδε τοῦ φόνου ῥαφεύς. Ag. 1597. ἔποικτον τόνδε βουλεῦσαι φόνον. Choeph. 65. τίτας φόνος πέπηγεν. Choeph. 72. τὸν χαιρομυσῆ φόνον καθαίροντες. Choeph. 116. τοῦ φόνου μεμνημένη. Choeph. 132. ὅσπερ σοῦ φόνου μεταίτιος. Choeph. 570. φόνου δ' Ἐριννὺς οὐχ ὑπεσπανισμένη. Choeph. 794. γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι. Eum. 203. οὐκ ἂν γένοιτ' ὅμαιμος αὐθέντης φόνος. Eum. 315. ματρῷον ἄγνισμα κύριον φόνου. Eum. 439. λουτρῶν ἐξεμαρτύρει φόνον. Eum. 450. φόνου διαιρεῖν ὀξυμηνίτου δίκας. Eum. 548. φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος. Eum. 550. αἰτίαν δ' ἔχω τῆς τοῦδε μητρὸς τοῦ φόνου. Eum. 573. ἡ δ' ἐλευθέρα φόνου. Eum. 593. τὸν πατρὸς φόνον πράξαντα. — Eum. 461. φόνων δικαστάς. — *occisorum cadavera.* Pers. 412. θάλασσα — ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν. — *cruor.* Sept. 44. θιγγάνοντες χερσὶ ταυρείου φόνου. Choeph. 1007. φόνου δὲ κηκὶς σὺν χρόνῳ ξυμβάλλεται. Eum. 175. ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.

Φορεῖσθαι *ferri.* Sept. 344. γᾶς δόσεις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται. Sept. 801. πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.

Φόρημα *onus.* Fragm. 276. ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων.

Φορητός *tolerabilis.* Prom. 981. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.

Φορκίδες *Phorcides.* Prom. 796. ἵνα αἱ Φορκίδες ναίουσι.

Φορτηγός *onerarius.* Phryg. 243. ναυβάτην φορτηγόν.

Φραδή *indicium, consilium.* Eum. 236. ἔπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς. Choeph. 929. θεόθεν εὖ φραδαῖσιν.

Φράζειν *dicere.* Prom. 611. θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ. Prom. 767. εἰ ῥητόν, φράσον. Prom. 783. ἑλοῦ γάρ· ἢ πόνων τὰ λοιπά σοι φράσω σαφηνῶς ἢ τὸν ἐκλύσοντ' ἐμέ. Prom. 790. σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω. Prom. 827. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν — φράσω. Prom. 846. τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω. Prom. 997. ὥστε καὶ φράσαι, πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος. Sept. 792. βαρέα δ' οὖν ὅμως φράσον. Pers. 169. εὖ τόδ' ἴσθι — μή σε δὶς φράσαι μήτ' ἔπος μήτ' ἔργον. Pers. 259. φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά. Pers. 325. ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν. Pers. 342. ἀγχῇ δὲ ναυσὶ συμβολῆς τίς ἦν; φράσον. Pers. 703. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον. Ag. 223. φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχάν. Ag. 575. φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν. Ag. 1031. σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί. Ag. 1080. πῶς φράσω τέλος; Ag. 1566. ὡς τορῶς φράσαι. Choeph. 119. ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ. Choeph. 515. θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε. Choeph. 119. ὥστ' ὀρθῶς φράσαι. Eum. 583. κρῖνον, ὡς τούτοις φράσω. Suppl. 315. τὸ πάνσοφον νῦν ὄνομα ταὐτό μοι φράσον. Suppl. 348. φρά-

ζουσα βοτῆρι μόχθους. Suppl. 459. ἀλλὰ πῶς φράσον. — *iubere.* Eum. 593. τόνδε χρησμὸν ὤπασεν, φράζειν Ὀρέστῃ τῷδε — μητρὸς μηδαμοῦ τιμὰς νέμειν. — φράζεσθαι *secum reputare.* Choeph. 111. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι. Choeph. 585. κἀνεμοέντων αἰγίδων φράσαι κότον. Suppl. 432. τάδε φράσαι δίκαια Διόθεν κράτη. Suppl. 433. καὶ δὴ πέφρασμαι. — *animum advertere, observare.* Eum. 125. λάβε, φράζου.

Φράσσειν *circumsepire.* Ag. 1349. πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων — πημονὴν ἀρκύστατον φράξειεν; — *munire.* Pers. 448. φράξαντες εὐχάλκοις δέμας ὅπλοισιν. — φράσσεσθαι *munire.* Sept. 63. φράξαι πόλισμα. Sept. 780. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις.

Φράστωρ *index, itineris dux.* Suppl. 487. ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων ξύμπεμψον.

Φράτωρ *curialis.* Eum. 626. ποία δὲ χέρνιψ φρατόρων προσδέξεται;

Φρενοδαλής *mentem commovens.* Eum. 317. 326. παραφορὰ φρενοδαλής.

Φρενομανής *mente commotus.* Ag. 1111. φρενομανής τις εἶ θεοφόρητος.

Φρενοπληγής *mentem concutiens.* Prom. 880. φρενοπληγεῖς μανίαι.

Φρενόπληκτος *mente commotus.* Prom. 1056. τοιάδε μέντοι τῶν φρενοπλήκτων βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.

Φρενοῦν *monere, docere.* Prom. 335. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς ἢ σαυτόν. Ag. 1156. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων. Choeph. 114. κἀφρένωσας οὐχ ἥκιστά με.

Φρενώλης *demens.* Sept. 739. παράνοια σύναγε νυμφίους φρενώλεις.

